ὕδατι, πυρί τε
παγετῷ καὶ ἡλίῳ.

Ἐνικᾶτο καὶ κτίσις
οἷα καὶ φύσις σοι,
διεπέρας ἀβρόχως
ῥεῖθρα ποτάμια,
ἔφερεν ἀὴρ
σῶμά σου τὸ λεπτότατον,
εἷλκε πρὸ τοῦ τέλους
ἐκ γῆς καὶ ὁ αἰθήρ σε.

Ὑπὲρ νοῦν, ὑπὲρ λόγον
ἡ καρτερία σου·
διὰ τοῦτο καὶ μείζους
ἀντικομίζει μισθούς·

heirm. η' EE 159, n. 224, Joannis 175 ἐπαινεῖτε] ἀνυμνεῖτε Bd 177 Ἀστικὸν] Ἐστικὸν Pq 179 πλείστοις χρόνοις Bd 184 ἡλίῳ καὶ παγετῷ Pq 185-192 troparium om. Pq Bd 196 ἀντικομίζεις Bd

λήψεται γὰρ πᾶς
ὡς ὁ θεῖος ἀπόστολος
τὸν μισθὸν ἀξίως
τῶν ἑαυτοῦ καμάτων.

θεοτ. Ἡ πικρά με τοῦ ξύλου
γεῦσις ἐνέκρωσε,
τὸ τεχθὲν ἐκ σοῦ, κόρη,
φυτὸν ἐζώωσε·
τόκος γὰρ ὁ σὸς
τῶν νεκρῶν ἐξανάστασις,
λύσις αἰχμαλώτων,
ἀνόρθωσις κειμένων.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Νεκρὰ καὶ ζῶσα τῷ κόσμῳ γέγονας·
νῦν δὲ δεσμῶν
λυθεῖσα τῆς σαρκός, εἰς οὐράνια
τοῦ Θεοῦ σκηνώματα κατέπαυσας,
κάλλος ἐκεῖ τὸ θεῖον,
κάλλος τὸ ἄφραστον
ὄμμασι ψυχῆς τοῖς καθαροῖς
ἀμέσως βλέπουσα.

Ταφῆς ἠπόρει σῶμα τὸ τίμιον,
ἀλλὰ θηρσί,
Χριστέ μου, νεκροστόλοις ἐκέχρητο
κεκλημένοις νεύματι τῷ σῷ, βασιλεῦ·
πείθεται γὰρ ἀρρήτως

197 γὰρ πᾶς] καὶ γὰρ Bd   200 ἑαυτῷ Bd   203 ταχθὲν Bd   206 τῶν νεκρῶν] κόρη νῦν Bd   207 λύσις] ρύστης Bd
heirm. θ' EE 159, n. 224, Joannis   218 θηρὸς Q   220 κεκλημένοις νεύματι] κεκλειμένοι σοῦ σώματι Q κεχρημένοις νεύμασι Bd

197-200 I Cor. 3,8   201-202 Gen. 2,17

πάντα τῷ κράτει σου,
μόνον σε δεσπότην ἀψευδῆ
σαφῶς γινώσκοντα.

Βροτῶν τῷ γένει πάντα ὑπέταξας
κἂν ἡττηθείς,
Χριστέ, τῆς ἁμαρτίας ὁ ἄνθρωπος,
φοβερὸς οὐκ ἔτι τῶν θηρίων ὁρμαῖς·
μάρτυς ἡ θεοφόρος,
ἣν ἀξιότιμον
λεοντία φύσις μαρτυρεῖ
καὶ μετὰ θάνατον.

θεοτ. Υἱὸν ἱλέου τὸν σόν, πανάμωμε,
τοῖς ἐκ ψυχῆς
μητέρα τοῦ Θεοῦ σε πρεσβεύουσιν,
ἁμαρτίαις γὰρ ἀλλεπαλλήλοις αὐτοῦ
τὰ φιλάνθρωπα σπλάγχνα
παραπικραίνομεν
καὶ τοὺς οἰκτιρμοὺς τῇ καθ' ἡμῶν
ὀργῇ συνέχομεν.

223 ἀψευδῆ] τοῦ παντὸς Bd   224 γινώσκομεν Bd   227 Χριστὸς Q τῇ ἁμαρτίᾳ Bd   228 τῶν] ταῖς Bd   233 ἱλέος Q   234 ὑπὲρ ἡμῶν Bd   235 μητέρα τοῦ Θεοῦ σε πανάχραντε Bd   236 γὰρ ἀλλεπαλλήλοις αὐτοῦ] ὄντες κατεχόμενοι Bd   239 τῇ καθ' ἡμῶν] τοῖς πονηροῖς Pq   240 ἔργοις συνέχοιμεν Pq

225 Hebr. 2,8

1 APRIL. *CANON V*

IN SANCTAM MARIAM AEGYPTIACAM

Mess. gr. 139 = Ma, ff. 198v-200v

Ὁ κανών· ⟨Ἰωσὴφ τοῦ Στουδίτου?⟩

Ἦχος πλ. β'.

ᾠδὴ α' *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ὁ Ἰσραὴλ μὲν ὁ πάλαι
δημαγωγὸν
τὸν Μωσῆν εὑράμενος,
τῆς Αἰγύπτου ἐξῆλθεν·
σὺ δὲ τὴν κυήσασαν Θεὸν
κτησαμένη βοηθόν,
σκότους λυτροῦσαι παθῶν.

Ἡ τὴν ψυχὴν μολυνθεῖσα
ταῖς τῶν παθῶν
ἡδοναῖς καὶ σπήλαιον
χρηματίσασα λῃστῶν,
ἀσωμάτων τάξεων νυνὶ
ὁμοδίαιτος ὑπάρχει,
ὢ τοῦ θαύματος.

Ἐν ταῖς ἐρήμοις μολοῦσα,
τὸν δυσμενῆ
ὁλικῶς κατέβαλες,

heirm. α' EE 159 n. 224, Joannis 3 εὐαράμενος 5 θεῷ 6 κτισαμένη 13 ὑπῆρχεν

Cd. Atonita Vatop. 1104 f. 87 Joseph Studitae carmen tribuit: cfr. Commentarium
1-4 Ex. 12,41-42; 13,3

χρησαμένη βοηθὸν
τῇ θεογεννήτορι, δι' ἧς
ὡδηγήθης πρὸς ζωὴν
τὴν ἀτελεύτητον.

θεοτ. Ὦ παναγία παρθένε,
ἁμαρτωλῶν
κραταιὰ βοήθεια,
τὴν ἀθλίαν μου ψυχὴν
ῥυπωθεῖσαν πάθεσι πολλοῖς
ἐκκαθάρασα τομῶς,
πρόφθασον, σῶσόν με.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

f. 199 ‖ Σὺ τὸν τρισόλβιον σταυρὸν
κατιδέσθαι ποθοῦσα,
παρετήρεις ἀσμένως
σεαυτὴν τῷ εὐκλεεῖ
λαῷ, ἀλλ' ἄνθη, σεμνή,
εἰς τὰ ὀπίσω
πάλιν ἀποφέρεσθαι.

Ἤιδεις, ὁσία, ἀτρεκῶς
ὡς ἀνάξιος πέλει
τῶν σεπτῶν ἀνακτόρων
ὁ τὴν σάρκα ἑαυτοῦ
ῥυπώσας καὶ ἐκτενῶς
ἱκετεύειν
τὸν Θεὸν οὐκ ἔληξας.

Ὁ δυσμενέστατος ἐχθρὸς
σοῦ τῆς θέας ὡς εἶδεν
τὴν ἀλλοίωσιν, αὖθις
ἐξεπλήττετο σφοδρῶς·

heirm. γ' EE 159 n. 224, Joannis 30 καθιδέσθαι 31 ἄ[illegible]μενος 33 temeas ὡς ἄνθη 36 ἤσθεις ὁσία ἀτερκῶς 37 πέλεις

πῶς ἡ τὸ πρὶν τὴν αὐτοῦ
μελετῶσα,
νῦν ἐκδυσωπεῖ τὸν Θεόν;

θεοτ. Δεινῶς με, δέσποινα ἁγνή,
ὁ παγκάκιστος ὄφις
εἷλεν αἰχμαλωτεύσας
τῶν παθῶν τῇ προσβολῇ,
ἀλλὰ μὲ θᾶττον αὐτὴ
τῆς δουλείας
τῆς αὐτοῦ ἐφάρπασον.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Χριστὸς ὁ κύριος,
ὁ ἐν ἐρήμῳ ποτὲ•
τὸν λαὸν διαθρέψας
τοῦ Ἰσραὴλ
καὶ διαβιβάσας αὐτόν,
νῦν ἐπωδήγησε καὶ σὲ
ἐν ἐρήμῳ κατοικεῖν, ὦ σεμνή.

Κρυμοῖς τὸ σῶμά σου
ἐκπιαζόμενον
καὶ τῷ καύσωνι πάλιν,
μήτηρ ἡμῶν,
τληπαθῶς ὑπέφερες·
διὸ ἀγγέλων τοῖς χοροῖς
ἀγελάζῃ, παναοίδιμε.

Σὺ τὰ τοῦ σώματος
πάθη νεκρώσασα,
τὴν ποτὲ νεκρωθεῖσαν
διὰ παθῶν

52 ἐκμαλωτεύσας
heirm. δ' EE 159, n. 224, Joannis

57-63 Marc. 6,35-44; Luc. 9,12-17; Joh. 6,5-14; Ex. 16,3-4

σοῦ ψυχὴν ἐζώωσας,
τῆς ἀπαθείας ἀπλανῶς
δραξαμένη, παναοίδιμε.

θεοτ. Ἡ πᾶσι νέμουσα,
ἁγνή, τὰ πρόσφορα,
ἀπωσθέντα Θεοῦ με
διὰ παθῶν
τῶν ἐμῶν, οἰκείωσον
ταῖς εὐπροσδέκτοις σου λιταῖς
τῷ υἱῷ σου πρὸς οἰκείωσιν.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Ὁ θεῖος πρέσβυς τῶν ἀρετῶν
κλίμακα δραμεῖν ἐπιζητῶν,
Θεὸν ἱκέτευεν ἄπαυστα
τοῦ ἀξιωθῆναι
τοῦ ποθουμένου τυχεῖν·
διόπερ ἠξιώθη
σὲ κατιδέσθαι, σεμνή.

f. 199v ‖ « Τί, πάτερ, ξένον με ἀρετῆς
πέλοντα ἁπάσης πρακτικῆς
ἦλθες θεάσασθαι γύναιον; »
ἔφη ἡ ὁσία
πρὸς τὸν πρεσβύτατον,
εὐχὴν ἐξαιτουμένη
τοῦτον ποιήσασθαι.

« Νῦν ἐξαιτῶ σε, ὦ Ζωσιμᾶ.
φράσον μοι τὸ πῶς μέχρι τοῦ νῦν
λαὸς χριστώνυμος σέσωσται·

heirm. ε' EE 159, n. 224, Joannis 86 δραγμὴν 91 καθιδέσθαι

92-94 AA. SS. Aprilis I, (1675) XVI, § 14 (= PG 87, 3708): Τίνος χάριν πρὸς ἐμὲ τὴν ἁμαρτωλὴν ἐλήλυθας ἄνθρωπε; τίνος χάριν γυμνὸν πάσης ἀρετῆς ἰδεῖν ἠθέλησας γύναιον;
99-105 AA. SS. XVI, § 14 (= PG 87, 3708): Πῶς τὸ χριστιανῶν φῦλον πολιτεύεται σήμερον; πῶς οἱ βασιλεῖς; πῶς τὰ τῆς ἐκκλησίας ποιμαίνεται;

ἐκκλησίας θεῖον
δὲ πῶς σεμνύνεται
τὸ κλέος, ἀνακτόρων
δὲ πῶς κρατύνεται; »

Ἔφη πρὸς ταῦτα ὁ γηραιός·
« ὦ μῆτερ ὁσία, ἱεραῖς
καὶ εὐπροσδέκτοις πρεσβείαις σου
πάντες τῇ ἀμώμῳ
πίστει κρατύνονται,
ἀλλ' εὖξαι ὑπὲρ πάντων
τῶν λατρευόντων Θεῷ ».

θεοτ. Ἐζοφωμένη μου ἡ ψυχὴ
γέγονεν ἐξ ἔργων μου δεινῶν·
οἴμοι, τί πάθω ὁ ἄσωτος,
ὅτε κριτηρίῳ
μέλλω παρίστασθαι;
ἁγία θεοτόκε,
τότε βοήθει μοι.

ᾠδὴ ϛʹ. *Τοῦ βίου τὴν θάλασσαν*

Νόμοις ἀγαπήσεως
τῆς ἀμύμονος εὐθὺς
πρὸς ἱκεσίαν τέτραπτο
ἡ πανολβία· ὅπερ καὶ κατιδὼν
ὁ πρέσβυς ἐξίστατο,
ὡς ἀσυνήθης πέλων
τῆς ὁράσεως.

Λογισμοῖς βαλλόμενος
Ζωσιμᾶς ὁ θαυμαστὸς
τοῖς ἀμφιβόλοις, ἤκουσεν

heirm. ϛʹ EE 159, n. 224, Joannis 123 καθιδὼν

106-112 AA. SS. XVI § 14 (= PG 87, 3708): Μῆτερ, εὐχαῖς ὑμῶν ὁσίαις, πᾶσιν ὁ Χριστὸς εἰρήνην σταθηρὰν ἐχαρίσατο ..... καὶ εὖξαι ὑπὲρ τοῦ κόσμου παντός, καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.....

πρὸς τῆς ὁσίας· « τί σε, ὦ Ζωσιμᾶ,
λογισμοὶ τὰ ἄμετρα
ἐκταράσσοντες πείθουν
παρ' ἀξίαν φρονεῖν; »

Τῶν ἀγγέλων τάγματα
ἐξεπλήσσοντο ἐν σοὶ
ὁρῶντα ὑπεράνθρωπον
σέ, πανολβία μήτηρ, τῶν ἡδονῶν
βεβηκυῖαν ἄνωθεν
ἀρετῶν τῇ πληθύϊ
καταλάμπουσαν.

θεοτ. Παρειμένον ὄντα με
τῇ ψυχῇ, ὡς ἰατρὸν
καὶ λυτρωτὴν κυήσασα,
παναγία παρθένε μήτηρ Χριστοῦ,
αὐτὴ ἐξανάστησον·
σὺ γὰρ ἁμαρτανόντων
ἡ βοήθεια.

ᾠδὴ ζʹ. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ὁ ἐχθρὸς ὡς ἑώρα τὴν καρτερίαν σου
ἣν ἐν ἐρήμῳ ἔσχηκας,
ἐξεπλήττετο·
πῶς ἡ πρώην πάντα τὰ αὐτοῦ
f. 200 || ἐπᾴδουσα νῦν μαρτυρικῶς
τῷ εὐεργέτῃ τοῦ παντὸς
προσῆλθες χαίρουσα;

Τῶν παθῶν πυρκαϊάν, σεμνή, σὺ ἔσβεσας,
συλλήπτορα ὡς ἔχουσα

138 βεβυκῦαν 147 ellipsin verbi εἶ animad.
heirm. ζʹ EE 159, n. 224, Joannis

130-133 AA. SS. XVI, § 15 (= PG 87, 3709): Τί σέ, ἀββᾶ, οἱ λογισμοὶ συνταράσσουσι σκανδαλισθέντα ἐπ' ἐμοί;

τὴν κυήσασαν
τὸν Θεὸν καὶ κτίστην τοῦ παντός,
ὅνπερ ἀνυμνοῦσα, ἐβόας·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Νῦν θρηνῶν ὁ νοῦς ὁ μέγας ὁ Ἀσσύριος,
βοᾷ· « οἴμοι, νενίκημαι
ὑπὸ τῆς πρώην
κραταιῶς βληθείσης ὑπ' ἐμοῦ·
ἰδοὺ γὰρ βοᾷ μελῳδικῶς· »
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

τοτ. Ἐξ ἁγνῶν σου αἱμάτων ὡς ἐσωμάτωσας
τὸν πλάσαντα ἐκ γῆς τὸν Ἀδάμ,
αἱμαγμένον με
τῇ ψυχῇ ὑπάρχοντα, σεμνή,
καὶ κείμενον ἄπνουν καὶ νεκρὸν
ἐξαναστήσασα τῇ σῇ
πρεσβείᾳ, ζώωσον.

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

« Ψυχικὴν θυμηδίαν,
πάτερ, ἐκπλήρωσον »,
τῷ πρεσβύτῃ ἐβόα
ἡ παμμακάριστος,
« τῶν ζωοποιῶν
μυστηρίων ποιήσας με
κοινωνὸν γενέσθαι »,
ὑμνοῦσα τὸν σωτῆρα.

160 εἶ om. cd. 165 κραταιὸς βληθίσεις (sic) 171 αἱμαγμένων pro ἡμαγμένον
heirm. η' ΕΕ 159, n. 224, Joannis

Ἀσμενέστατα αὖθις
ὁ παναοίδιμος
Ζωσιμᾶς ὑπονεύσας,
θᾶττον ὑπέσχετο
πᾶσαν ἐκπληρῶν
εἰς τὸ μέλλον τὴν αἴτησιν
τοῖς ὑμνολογοῦσιν
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ξένον θέαμα, μήτηρ,
ἐν σοὶ θεώμενος
ὁ πρεσβύτης, τῷ μόνῳ
Θεῷ ἀνέπεμπεν
δόξαν ὁ κλεινὸς
τὴν πορείαν ὡς ἔβλεπεν,
ἥνπερ ἐποιήσω,
σεμνή, ἐπὶ ὑδάτων.

θεοτ. Ὦ ψυχή μου ἀθλία,
πῶς τὸν χιτῶνά σου
δι' ἀπροσεξίας
ἐκατεσπίλωσας;
σπεῦσον οὖν τὰ νῦν
καὶ τῇ παρθένῳ βόησον·
« δέσποινα ἁγία,
οἰκτείρισον καὶ σῶσον ».

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Τῇ σῇ
ἀφάτῳ δόξῃ χρηστότητι,
ὦ Ἰησοῦ·
παρθένου γὰρ σεμνοτέραν ἀνέδειξας
τὴν ποτὲ σπιλώσασαν ταῖς πράξεσιν
ταῖς αἰσχίστοις τὸ σῶμα,

189 μέλλον τὴν] μέλλοντι
heirm. θ' ΕΕ 159, n. 224, Joannis

σὲ τὴν κυήσασαν
200v || ταύτῃ δωρησάμενον, σωτήρ,
ἐγγυητὴν συμπαθῆ.

Φρικτῆς
θυσίας σὺ ὡς ἀπήλαυσας,
μήτηρ ἡμῶν,
Θεῷ χαριστηρίους ἀνέπεμψας
ὑμνῳδίας· αὖθίς τε τὴν ἔρημον
πάλιν καταλαβοῦσα,
ὕπνον τρισόλβιον
τὸν δικαίοις πρέποντα, σεμνή,
ἐπαναδέδεξαι.

Φρικτὸν
τεράστιον ἐθεάσατο
ὁ γεραιός,
ὑπτίαν σε ὀλβίαν ὡς ᾔσθετο,
τὴν ἐμφερομένην ἐπὶ γῆς σου γραφὴν
θᾶττον ἀναγινώσκων·
« ὦ ἱερώτατε,
σῶμα τὸν ἐμὸν τῇ γῇ διδούς,
μνείαν ποιοῦ μου ἀεί ».

θεοτ. * Φωνὴν
προσάγει σοι χαριστήριον
πᾶσα πνοή,
βοῶσα χαρμοσύνως καὶ λέγουσα·
« χαῖρε, θρόνε ὑψίστου πυρίμορφε,
χαῖρε, Θεοῦ χωρίον
εὐρυχωρότατον,
χαῖρε, τῆς ὁσίας εὐπρεπές,
ἁγνή, στεφάνωμα ».

---

215 ταύτην 216 συμπαθεῖ 234 ποιὸν 235-243 θεοτ. MR I, 392
240 χαῖρε ἀποστόλων εὐπρεπὲς MR 241-242 vv. om. MR

IN SANCTAM MARIAM AEGYPTIACAM

Paris. gr. 1564 = Py, ff. 1v-4
Paris. gr. 1565 = Rf, ff. 2-5v

Ὁ κανών· Θεοφάνους.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τὸν ῥύπον τὸν τῶν πταισμάτων κάθαρον
f. 2 τῆς ταπεινῆς μου || ψυχῆς
τῷ σῷ ἐλέει δέομαι, Χριστέ,
τὴν ἀχλὺν καὶ τὴν ζόφωσιν
τὴν τῶν παθῶν ἀπέλασον
ταῖς ἱκεσίαις τῆς ὁσίας σου.

Πάθεσι τοῖς τῆς σαρκὸς ῥυπώσασα
τὸ τῆς ψυχῆς εὐγενές,
δι' ἐγκρατείας πάλιν δέ, σεμνή,
τὸν σὸν νοῦν κατεφαίδρυνας
καὶ μύρῳ τῶν δακρύων σου
τὴν σὴν ψυχὴν καταφωτίζεις ἀεί.

Αἴγυπτον τὴν τῶν παθῶν ἀπέφυγες
ὡς ἁμαρτίας πληγὴν
καὶ Φαραὼ ῥυσθεῖσα τοῦ δεινοῦ

Nomen Θεοφάνους legitur tantum in Py, antiquitate praeclaro heirm. αʹ EE 94, n. 133, Joannis 9 δὲ] ὦ Rf 11 καὶ μύρῳ] τοῖς ὄμβροις Rf 12 σὴν om Rf καταφωτίζεις ἀεὶ] καταφωτίζουσα Rf 14 πληγὴν] πηγὴν Rf

---

13-16 Cfr. Ex. 6,6-8; 7,8-11; 10

μολυσμοῦ, ἀπαθείας δὲ
τὴν γῆν ἐκληρονόμησας
καὶ μετ' ἀγγέλων συγχορεύεις ἀεί.

θεοτ. Ὁρῶσα τὴν σὴν εἰκόνα, δέσποινα
θεοκυῆτορ ἁγνή,
τῷ σαρκωθέντι Λόγῳ ἐκ τῆς σῆς
καὶ ἁγίας, παρθένε, γαστρὸς
ἐγγυητὴν πρὸς τοῦτόν σε
νῦν ἐξαιτεῖται ἡ ἀοίδιμος.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Προσώζεσαν τῆς ψυχῆς
καὶ κατεσάπησαν οἱ σοὶ μώλωπες,
ἀλλὰ πηγῇ δακρύων σου
τούτους ἀποπλύνεις, Μαρία, θερμῶς.

Νενίκηνται ὑπὸ σοῦ
αἱ τῶν δαιμόνων πονηραὶ φάλαγγες
καὶ τῶν παθῶν σκιρτήματα
διὰ τῶν δακρύων μαστίζονται.

Νεφέλη ὡς πρωϊνὴ
καὶ ὥσπερ στάζουσα σταγὼν πέφηνας,
πᾶσιν ἡμῖν προχέουσα
νάμα μετανοίας σωτήριον.

θεοτ. Σὲ προστασίαν, σεμνή,
καὶ σωτηρίαν καὶ ἰσχὺν ἔχουσα,
τὸ τοῦ σταυροῦ ἅγιον
ξύλον τῆς ζωῆς προσεκύνησεν.

---

16 δὲ] νῦν Rf 18 καὶ μετ' ἀγγέλων] μετὰ ἀγγέλων Py 21 τῷ σαρκωθέντι Λόγῳ] καὶ τοῦ τεχθέντος λόγου Rf 22 καὶ ἁγίας] παναγίας Rf 24 νῦν ἐξαιτεῖται] θερμῶς αἰτεῖται Rf

heirm. γ' EE 94, n. 133, Joannis 37 σεμνή] ἁγνὴ Rf 40 τῆς ζωῆς] ἡ σεμνὴ Rf

---

33-34 Ps. 71,6

f. 2r || Κάθισμα.

Ἦχος πλ. α'. *Τὸν συνάναρχον Λόγον*

Τοῦ σταυροῦ ταῖς ἀκτῖσι καταυγασθεῖσα
καὶ ψυχὴν μετανοίᾳ καθαγνισθεῖσα,
....

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τὰ σκιρτήματα πάντα τὰ τῆς σαρκὸς
χαλινώσασα πόνοις ἀσκητικοῖς
....

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἀπεμάκρυνας φυγοῦσα τὰ ἐν τῷ κόσμῳ
καὶ τὰ ἡδέα ἅπαντα,
μόνη δὲ τῷ μόνῳ
καθαρῷ ὡμίλησας
δι' ἄκρας ἀσκήσεως
καὶ ὑπομονῆς τῆς τῶν ἔργων σου.

Τὰ τοῦ σώματος κινήματα καὶ πυρώσεις
δι' ἐγκρατείας ὄντως
ἀπεξήρανας· ὅθεν
τὴν ψυχὴν ἐκόσμησας,
Μαρία πανένδοξε,
θείαις θεωρίαις καὶ πράξεσιν.

Δι' ἀρετῆς τε συντόνου, διὰ δακρύων,
διὰ νηστείας ἄκρας,
εὐχῆς τε καὶ καύσους,

κάθ. BNJ 11 (1934-1935) 327, om. in Rf. Aliud κάθ. MR IV, 228 post ἄλλο κάθ. in Rf θεοτ. invenimus: Ὡς παρθένον καὶ μόνην ἐν γυναιξὶ MR I, 241, et σταυροθεοτ. Τὸν ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν MR I, 241

heirm. δ' EE 94, n. 133, Joannis 44 καθαρῶς Py 46 ὑπομονῇ τῇ Rf 53 τε om. in Rf

ψύχους καὶ γυμνότητος
δοχεῖον γεγένησαι
τοῦ ἁγίου πνεύματος ἔντιμον.

εοτ. Πρὸς τὴν σὴν εἰκόνα καταφυγοῦσα
καὶ τῷ ἐκ σοῦ τεχθέντι,
θεοτόκε παρθένε,
διὰ σοῦ νῦν εὕρατο
ζωὴν τὴν ἀθάνατον,
3 ἐν τῷ παραδείσῳ ‖ χορεύουσα.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Ὀπίσω τοῦ Χριστοῦ
ἠκολούθησας χαίρουσα·
βαστάζουσα τὸν σταυρόν σου
ἐν τοῖς ὤμοις, Μαρία,
τοὺς δαίμονας ἐμάστιξας.

Ὑπέδειξας ἡμῖν
μετανοίας τὸ φάρμακον,
ὑπέδειξας σὺ τὴν τρίβον
τὴν ἀπάγουσαν πάλιν
πρὸς ζωὴν τὴν ἀνώλεθρον.

Σὺ γενοῦ μοι, σεμνή,
προστασία ἀήττητος
καὶ λύτρωσαι τῶν παθῶν με,
ἀσθενείας τε πάσης
πρεσβείαις σαῖς πρὸς κύριον.

εοτ. Σοῦ, δέσποινα ἁγνή,
τῇ εἰκόνι ἠτένιζεν,
σοῦ πάντοτε δεομένη,
τῶν παθῶν τὰς ἐφόδους
καὶ δαίμονας κατῄσχυνεν.

60 τῷ] τοῦ Rf τεχθέντι] τεχθέντος Rf 61 θεοτόκε] ἡ Μαρία Rf heirm. ε' EE 94, n. 133, Joannis 72 σὺ] καὶ Rf 79 σαῖς] σου Rf 84 καὶ δαίμονας] ἡ ὁσία Rf

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Ἱδρῶσι
ἁμαρτίας τὸν βόρβορον ἔπλυνας,
πρὸς τὴν ἀγήρω δὲ δόξαν
σὺ τῇ διανοίᾳ ἀποσκοποῦσα,
καὶ γὰρ εὗρες
εὐκαρπίαν τῶν πόνων σου, ἔνδοξε.

f. 3v ‖ Ἅπασιν
ἁμαρτωλοῖς, Μαρία, ὁ βίος σου
ὑπογραμμὸς ἀνεδείχθη
τοῖς ἀμέτρως πταίσασιν ἐν τῷ βίῳ
ἀναστῆναι
καὶ τὸν ῥύπον καθᾶραι τοῖς δάκρυσιν.

Οἴκτειρον
τὴν ταπεινὴν ψυχήν μου, φιλάνθρωπε,
ἣν κατεσπίλωσα πράττων
ἀσεβῆ, θελήματι τῆς σαρκός μου,
ἀλλὰ σύ με
τῆς ὁσίας πρεσβείαις ἐλέησον.

θεοτ. Ὅλη σου
τῇ ψυχῇ καὶ καρδίᾳ ἠγάπησας
τὸν ἐκ παρθένου τεχθέντα
Θεὸν Λόγον ζῶντα καὶ σαρκωθέντα,
τὸν φωνήν σοι
οὐρανόθεν, ὁσία, κομίσαντα.

Κοντάκιον.

Ἦχος γ'. *Ἡ παρθένος σήμερον*

Ἡ πορνείαις τὸ πρότερον
μεμεστωμένη παντοίαις
....

heirm. ς' EE 94, n. 133, Joannis 86 ἁμαρτίας] τῆς ἁμαρτίας Rf 88 σὺ] σοῦ Rf 89 καὶ γὰρ] τὰ νῦν Rf 100 θελήματα Rf 108 κομίσαντι Py Κοντάκ. et οἶκ. MR IV, 230, Rf κοντάκ. praebet: Τῆς ἁμαρτίας τὴν ἀχλὺν ἐκφυγοῦσα ... HR 223, οἶκ. Ὄφιν τὸν πάλαι ἐν Ἐδὲμ ... PAS I, 434

Ὁ οἶκος.

Τὴν ἀμνάδα Χριστοῦ
καὶ θυγατέρα ᾄσμασιν
....

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Τὴν τεθλιμμένην
καὶ στενὴν καθοδεύσασα τρίβον σοφῶς,
κάλλει
ἀρετῶν ἐφαίδρυνας τὴν ψυχήν,
εἰς οὐράνιον κατήντησας
ζωὴν ἀδάπανον,
ἔνθα φῶς ἀτελεύτητον ἐστιν Χριστός.

Τὰ ἐν τῷ κόσμῳ
καταπατοῦσα πρόσκαιρα ἅπαντα,
τὰ νῦν
συγ‖χορεύεις πάσαις ταῖς στρατιαῖς
τῶν ἀγγέλων, ἀναμέλπουσα·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Αἱ μεθοδεῖαι
τοῦ ἐχθροῦ, αἱ ῥομφαῖαι ἐξέλιπον
πᾶσαι
τῇ στερρᾷ νηστείᾳ καὶ προσευχῇ
σοῦ, ὁσία, καὶ τοῖς δάκρυσι·
νῦν οὖν διώκονται
καὶ παθῶν αἱ ἐνστάσεις, Μαρία σεμνή.

---

heirm. ζ' EE 94, n. 133, Joannis 110 κατοδεύσασα Py ὁδεύσασα Rf σαφῶς Rf 112 φαιδρύνασα Rf 118 τὰ νῦν] ὅθεν Py 124 αἱ] καὶ Rf

---

121-122 Cfr. Dan. 3,53

θεοτ. Ἀπειρογάμως
ἡ Θεὸν τὸν ἀσώματον τέξασα
ὄντως
καὶ παρθένος μείνασα ἀληθῶς
σὲ ῥωννύει, πανσεβάσμιε,
καταδιώκουσα
καὶ παθῶν καὶ δαιμόνων στρατεύματα.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ὅλη λαμπηδόσιν ἀρετῶν
κατεφωτίσθης τὸν νοῦν, Μαρία ἔνδοξε,
Θεῷ ὡμίλησας, σάρκα γὰρ
κατελέπτυνας νηστείᾳ πολλῇ
καὶ λογισμῷ πανευσεβεῖ
ἔμελπες χαίρουσα·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Σταυροῦ τῇ σφραγῖδι σεαυτὴν
περιτειχίσασα, τὰ ἰορδάνια
ποσὶν ἀβρόχοις σου νάματα
διαπλεύσασα, Μαρία, πιστῶς
καὶ τὸν οὐράνιον Χριστοῦ
ἄρτον καὶ αἷμα αὐτοῦ
μετασχοῦσα,
« νῦν ἀπολύεις τὴν δούλην σου » ἔφησας.

---

135 καταδιώκουσαν Rf 136 καὶ παθῶν] τῶν παθῶν Rf heirm. η' EE 94, 133, Joannis 137 ὅλον Rf 138 κατεφωτίσθης] καταυγασθεῖσα Rf 140 κατελέπτυνας] ἐκλεπτύνασα Rf 144 τὰ ἔργα κυρίου τὸν κύριον om. cdd. 149 Χριστὸν Rf

---

145-152 AA. SS. Aprilis I, (1675) XIX-XX, § 35 (= PG 87, 3721): Τῷ σημείῳ τοῦ σταυροῦ τὸν Ἰορδάνην σφραγίσασαν .... καὶ περιπατοῦσαν ἐπὶ τῶν ὑδάτων ἐπάνω .... καὶ οὕτως τῶν ζωοποιῶν μυστηρίων μεταλαβοῦσα .... ἐβόησε: Νῦν ἀπολύεις τὴν δούλην σου, ὦ Δέσποτα.

143-144; 159-160; 167-168 Cfr. Dan. 3,57 152 Luc. 2,29

Ἱερεὺς ὁ θεῖος Ζωσιμᾶς
μύστης τῆς χάριτος ῥεῖθρα ὡς εἶδέ σε
τὰ ἰορδάνια, ἔνδοξε,
διαπλέουσαν ἀβρόχῳ ποδί,
φόβῳ καὶ τρόμῳ συσχεθείς,
χαίρων ὑπέψαλλεν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

εοτ. Διὰ σοῦ, πανάσπιλε, φθορὰν
καὶ σπίλον ἅπαντα ἀπετινάξατο
καὶ ἐνεδύσατο, δέσποινα,
περιβόλαιον ἀθάνατον
καὶ διὰ σοῦ τῷ σῷ υἱῷ
ἡ σὴ ὁσία βοᾷ·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Νῦν τῆς ἀκηράτου καὶ θείας
ὄντως τρυφῆς ἐμφορουμένη
καὶ φωτὸς τρυφῶσα νοητοῦ
καὶ ἀνεσπέρου ἐν οὐρανίοις σκηναῖς,
ἔνθα ἀγγέλων τάγματα,
ὑπὲρ ἡμῶν Θεὸν ἱκέτευε.

Δόξαν τὴν ῥευστὴν καὶ φθαρτήν τε
ἀπεβδελύξω, νῦν, Μαρία,
δόξης καὶ ζωῆς ἐκληρώσω
τῆς ἀθανάτου· Χριστὸν ἱκέτευε
ὑπὲρ τῶν ἐκτελούντων σου
τὴν παναγίαν μνήμην πάντοτε.

158 ὑπέψαλλες Rf
heirm. θ' EH 94, n. 133, Joannis 174 Θεῷ Py 177 δόξαν καὶ ζωὴν Rf 178 τῆς ἀθανάτου] τὴν μακαρίαν Rf

Ἴδε μου τὴν θλῖψιν, ὁσία,
καὶ στεναγμὸν τὸν τῆς καρδίας,
βλέψον τὸ στενὸν τῆς ζωῆς μου,
διάσωσόν με τῆς ἁμαρτίας μου
καὶ τὴν ψυχήν μου οἴκτειρον
σαῖς μεσιτείαις πρὸς τὸν κύριον.

θεοτ. Δέσποινα ἁγνὴ θεοτόκε,
ἁμαρτωλῶν ἡ σωτηρία,
δέξαι μου τὴν δέησιν ταύτην
καὶ λύτρωσαί με τῶν ἐγκλημάτων μου
τῷ σῷ υἱῷ προσφεύγοντα
ταῖς ἱκεσίαις τῆς ὁσίας σου.

186 τὸν om. Py

2 APRIL. *CANON* VII

IN SS. AMPHIANUM ET AEDESIUM

Synaxarium, 579-580: Οὗτοι ὑπῆρχον κατὰ τοὺς χρόνους Μαξιμιανοῦ τοῦ βασιλέως ἐκ μητρὸς ἀδελφοὶ ἐκ χώρας Λυδίας· κατὰ δὲ Βηρυτὸν γενόμενοι ὑπὸ τοῦ μάρτυρος Παμφίλου παιδαγωγηθέντες πρὸς τὴν εὐσέβειαν, τῷ ἄρχοντι παρέστησαν Οὐρβανῷ. Ὧν Ἀμφιανὸς πρῶτος κηρύξας τὸν Χριστὸν παρρησίᾳ, πληγαῖς κατὰ τοῦ προσώπου τύπτεται καὶ τοῖς τῶν στρατιωτῶν ποσὶ λακτίζεται καὶ ἐλαίῳ χρισθεὶς τοὺς πόδας πυρὶ καταφλέγεται. Καὶ ἀναρτηθεὶς ὡράθη ὅλος διῳδηκὼς καὶ ὑπὸ τῶν λακτισμάτων τὰς πλευρὰς διερρωγὼς καὶ τῷ πυρὶ τὰς τῶν ποδῶν σάρκας δαπανηθείς· ἐπιμένων δὲ τῇ εἰς Χριστὸν ὁμολογίᾳ, τῷ βυθῷ τῆς θαλάσσης ἐκδίδοται καὶ ἐν αὐτῷ τελειοῦται. Ὁ δὲ Αἰδέσιος ἐπέμφθη εἰς Ἀλεξάνδρειαν τὴν κατ᾽ Αἴγυπτον τοῖς τοῦ χαλκοῦ μετάλλοις ταλαιπωρούμενος, ἐπειδὴ τὸν ἄρχοντα Ἱεροκλέα τιμωρούμενον τοὺς χριστιανοὺς ἐθεάσατο, ἀφειδήσας δὲ αὐτοῦ, αὐτοχειρὶ τοῦτον ἔτυψε· ὅθεν πολλὰ βασανισθεὶς καὶ αὐτὸς ἐν τῷ τῆς θαλάσσης βυθῷ ῥιφεὶς τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο.

Laur. Δ. 37	= Αα, ff.	82ᵛ-84ᵛ
Crypt. Δ.α. XVII	= Ck, ff.	119ᵛ-123ᵛ
Barber. gr. 450	= Bh, ff.	38ᵛ-39ᵛ
Barber. gr. 460	= Bd, ff.	128-129ᵛ
Reg. gr. 61	= Lo, ff.	42ᵛ-44
Paris. gr. 341	= Pq, pp.	220-225

Ὁ κανὼν τῶν μαρτύρων φέρων ἀκροστιχίδα·
Τοῖς αὐταδέλφοις μάρτυσιν πλέκω μέλος· Ἰωσήφ.

Ἦχος δ′.

ᾠδὴ α′. *Ὁ πατάξας Αἴγυπτον*

Τῷ φωτὶ λαμπόμενοι
τοῦ παναγίου πνεύματος,

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε Lo Pq Ὁ κανὼν Bh Bd Nomen Ἰωσήφ om. Lo Pq, in margine Ck Bh ostendunt, idemque autem deducitur e litteris capitalibus odes θ′

heirm. α′ EE 106, n. 150, Andreae 1 λαμπόμενος Bh

αὐτάδελφοι, πλουσίως
τοὺς τὴν φωσφόρον ὑμῶν μνήμην
χαρμονικῶς σήμερον
φωτίσατε τελοῦντας,
μεγαλομάρτυρες.

Ὁλοψύχως, ἅγιοι,
κυρίῳ προσκολλώμενοι,
βασάνων τρικυμίαν
οὐκ ἐπτοήθητε, ἀλλ᾽, ὥσπερ
ἄλλων ὑμῖν, πάσχοντες
διέκεισθε, ταῖς νίκαις
νῦν στεφανούμενοι.

Ἰησοῦν τὸν κύριον
ἐν τῷ σταδίῳ, ἅγιοι,
Θεὸν ὁμολογοῦντες,
πάθη ὑπεμείνατε ποικίλα
καὶ χαλεπὸν θάνατον·
ζωῆς ἀτελευτήτου
ὅθεν ἐτύχετε.

θεοτ. Σαρκωθείς, πανάμωμε,
ἐκ τῆς ἁγνῆς νηδύος σου
Θεὸς δι᾽ εὐσπλαγχνίαν,
τῶν ἀθλητῶν τὰς ὁμηγύρεις
περιφανῶς εἵλκυσεν
τοῖς τούτου ζωηφόροις
καὶ θείοις πάθεσιν.

4 φωτοφόρον Bd 6 τελοῦντες Ck Bh Lo Pq 9 κυρίῳ om. Lo 12 ὑμεῖς Αα Bh Lo Pq ὑμῶν Bd 13 τῆς νίκης Bd 14 νῦν om. Bh στεφανούμενοι] καταστεφόμενοι Bh Lo Pq καταστεφόμενος Bd 18 ὑπεμείνατε] ὑπέστητε Αα Bh Bd Lo Pq 23 νηδύος σου] νεάνιδος Bd 26 εἵλκυσαν Ck 27 τούτων Ck τούτω Bd

ᾠδὴ β'. *Δῶμεν μεγαλωσύνην*

Ἀγγέλων συμπολῖται
ἐπαξίως χρηματίζετε
σαρ ⟨— — —́ — — — — —́ —
— — — —́ — — —́ — — — —́⟩

83 ‖ Ὑψώθητε ἐν ξύλῳ
σπαραττόμενοι τοῖς ὄνυξι
καὶ τῶν ⟨— —́ — — — — —́ —
— — — —́ — — —́ — — — —́⟩

Τιμήσωμεν συμφώνως
αὐταδέλφους χριστομάρτυρας
⟨— — — —́ — — — — — —́ —
— — — —́ — — —́ — — — —́⟩

·τ. Ἀνώρθωσας, παρθένε,
τὸ ἀνθρώπινον κυήσασα
⟨— — — —́ — — — — — —́ —
— — — —́ — — —́ — — — —́⟩

ᾠδὴ γ'. *Μὴ καυχάσθω ὁ καυχώμενος*

Διωγμοὺς ἐγκαρτερήσαντες
καὶ συλληφθέντες, παρέστητε ἅμα
τῷ ἀπηνῶς δικάζοντι,
μάρτυρες ἔνδοξοι,
καὶ καθείλετε τὰ αὐτοῦ
πανουργεύματα θείαις ἐνστάσεσιν.

Oden β' tantum Aα refert, ceteri om.
heirm. β' EE 94, n. 133, Joannis 31-32, 35-36, 39-40, 43-44 infeliciter scriptor omisit transcribere versus
heirm. γ' EE 106, n. 149, Andreae; in Bd porrigitur heirm. EE 109, n. 152, Andreae 46 παρέστητε] παρεστήσατε Bh 49 καθήλετε Ck Pq τὰ om Ck 50 τὰ πανουργεύματα Ck

Ἐγυμνώθητε ξεόμενοι
πλευρὰς τοῖς ὄνυξιν, ἀθλοφόροι,
καὶ οὐδαμῶς ἠρνήσασθε
Χριστὸν τὸν κύριον,
τὸν διδοῦντα θείαν ἰσχὺν
καὶ κραταίωμα τοῖς φοβουμένοις αὐτόν.

Λαμπρυνθέντες ὑπὲρ ἥλιον
ταῖς προσαχθείσαις πληγαῖς, ἀθλοφόροι,
πρὸς φωτισμὸν ἀνέσπερον
νῦν μετετέθητε,
ἐξαιτούμενοι τοῖς ὑμᾶς
μακαρίζουσι πταισμάτων ἄφεσιν.

θεοτ. Φεῖσαι πάντων ἡμῶν, κύριε,
ταῖς ἱκεσίαις τῆς σὲ κυησάσης
καὶ τῶν σεπτῶν μαρτύρων σου
ὡς ὑπεράγαθος
καὶ κατάπεμψον ἐφ' ἡμᾶς
τὰ ἐλέη σου, Λόγε, τὰ πλούσια.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Καταβαλόντες τοῦ ἐχθροῦ τὰς ἐπάρσεις
ταῖς ἀνυψώσεσιν, σοφοί, ταῖς ἐνθέοις,
νικητικὸν διάδημα ἐδέξασθε·

---

52 πλευρᾶς ἀπόνως τοῖς ὄνυξιν ἅγιοι Aα 54 κύριον] Θεὸν Bh 55 τὸν διδόντα πᾶσιν ἰσχήν (sic) Aα θείαν om. Bd 57-62 om. Bd 58 ἀθλοφόροι] γενναιότατοι Aα 59-62 Ck vv. 53-56 repetit 59 ἀνέσπερον] ἀνέσπερον Bh τοῖς] τοὺς Lo 63-68 θεοτ. om. Lo 64 κυησάσης] κυησάσης σε Ck τεκούσης Bd 68 Λόγε om. Aα
κάθ. canoni praeponitur in Bh om. Aα
heirm. καθ. PaR, 315 2 ταῖς ἀνυψώσεσιν] τὰς ἀνυψώσεις του Bd

51-52 Passio, G. del Ton in *Eusebio: i martiri della Palestina*, Roma 1964, f. 815 .... τὰς πλευρὰς ἄχρις ὀστέων καὶ σπλάγχνων αὐτῶν ⟨καταξαίνειν⟩ παρακελευόμενος

ὅθεν καὶ ἀγάλλεσθε
εἰς αἰῶνα αἰῶνος,
φέγγος τὸ ἀνέσπερον
ἱερῶς κατοικοῦντες,
καὶ ἐκτενῶς πρεσβεύσατε Χριστῷ,
μάρτυρες θεῖοι,
εὑρεῖν ἡμᾶς ἔλεος.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

Οὐκ ἐφείσασθε
σαρκός, βασάνοις προσομιλοῦντες,
ἀλλ' ὡς ἄσαρκοι, μακάριοι,
ὑπεμείνατε, μάρτυρες.

Ἵνα λάβητε
τὴν βασιλείαν Θεοῦ τοῦ ζῶντος,
βασιλέων τὰ προστάγματα
κατεπτύσατε, μάρτυρες.

« Στῶμεν » ἔκραζον
« ἀνδρειοφρόνως » οἱ ἀθλοφόροι,
« ταῖς βασάνοις ἐντρυφήσωμεν,
ἵνα τρυφῆς θείας τύχωμεν ».

θεοτ. Μὴ παρίδῃς με
περιστατούμενον ταῖς τοῦ βίου
τρικυμίαις, παναμώμητε,
ἀλλὰ σπεύσασα σῶσόν με.

4 καὶ ἀγάλλεσθε] ἐπαγάλλεσθε Bh Pq ἐπαγάλλεσθαι Bd 8 πρεσβεύσατε] πρεσβεύοντες Bh Lo Pq 10 ἡμῖν Ck
heirm. δ' EE 95, n. 134, Germani, alius heirm. porrigitur in Pq cf. EE 97, n. 137, Joannis 1 Εἰσακήκοα] Εἰσακήκοα, κύριε Ck 69-72 troparium om. Lo 70 βασάνους Bd 74 Θεοῦ] τοῦ Θεοῦ Bh Pq 77-80 troparium om. Bd 75 βασιλέως Aα 79 τοῖς Lo 84 σπεύσασα] σπεῦσον καὶ Bd

f. 83v ‖ ᾠδὴ ε'. *Ὄρθρον φαεινὸν ἡμῖν*

Ἄνθραξι φλεγόμενοι,
πανοίδιμοι, καὶ ἀπηνῶς
ὥσπερ θύματα ὀπτώμενοι τέλεια,
ἀήττητοι ὤφθητε.

Ῥήγνυται ὁ δόλιος
πρὸ ποδῶν ὑμῶν ἐκνικηθεὶς
καὶ συντρίβεται καὶ γέλωτα ὤφλησεν,
μάρτυρες ἔνδοξοι.

Τιμήσωμεν σήμερον
θείοις ᾄσμασιν Ἀμφιανὸν
καὶ Αἰδέσιον, κυρίου τοὺς μάρτυρας,
νομίμως ἀθλήσαντας.

θεοτ Ὕψιστον ἐκύησας,
τὸν ὑψώσαντα πάντας ἡμᾶς
ἐκ βαράθρων ἀπωλείας, πανάμωμε·
ὅθεν ὑμνοῦμέν σε.

ᾠδὴ ς'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

Σεσυλημένος ὁ πλάνος
ταῖς ὑμῶν παραδόξοις ἐνστάσεσιν,
λαμπάσι σφοδρῶς καταφλέγει
τὰ σώματα, κυρίου μεγαλομάρτυρες.

Ἱερωτάτη θυσία
τῷ τυθέντι Χριστῷ προσηνέχθητε
διὰ πολυτρόπων βασάνων
καὶ νῦν τῆς ἄνω δόξης ἐπαπολαύετε.

heirm. ε' EE 107, n. 150, Andreae 88 ἀήττη Lo 89 ῥ[illegible]τε Ck 91 συντριβήσεται Ck 93-96 troparium om. Bd 95 τοῦ κυρί[illegible] Ck Lo 100 v. deest in Pq
heirm. ς' EE 103, n. 145, Joannis in Lo alter heirm. EE 9[illegible], n. 138, Joannis 103 σφοδρῶς] ἡμῶν Lo ὑμῶν Aα Bd Pq 106 προσ[illegible]θη Ck 108 νῦν om. Ck Lo

Νόμους Θεοῦ συντηροῦντες,
παρανόμων βουλὰς ἐξεκλίνατε·
ὅθεν ἐναθλοῦντες νομίμως,
στεφάνους ἀφθαρσίας κατεκληρώσασθε.

εοτ. Πεποικιλμένη τῇ δόξῃ
τῶν σεπτῶν ἀρετῶν ὡς βασίλισσα,
Χριστὸν βασιλέα, παρθένε,
ἐκύησας· διό σε πίστει δοξάζομεν.

ᾠδὴ ζ'. *Ὁ ἐν τῷ ὄρει
Μωυσῇ συλλαλήσας*

Λαμπτῆρες θεῖοι
τῆς Χριστοῦ ἐκκλησίας,
τὸ σκότος, ἀθλοφόροι, τῆς ἀγνωσίας
ἀποφυγόντες, ἤχθητε
πρὸς τὸ φῶς τὸ ἀνέσπερον.

Ἐν ὁμονοίᾳ
ἕνα κύριον Λόγον
ἀνάρχου, ἀθλοφόροι, πατρὸς ἐμφρόνως
ὁμολογοῦντες, θάνατον
δόξης πρόξενον εἰλήφατε.

Κραταιωθέντες
τῇ ἁγίᾳ τριάδι,
84 δαιμόνων διεκόψατε || μυριάδας
ἐνθέοις ὅπλοις, μάρτυρες,
καὶ στεφάνων ἐτύχετε.

εοτ. Ὡς πλατυτέρα
οὐρανῶν, ὑπεδέξω

109-112 troparium om. Bd 111 ἐναθλοῦντες] ἀθλοῦντες Ck ἐναθλοῦντας Aα 113 πεποικιλμένοι Lo 114 ὡς] ὁ Bh
heirm. ζ' EE 104, n. 146, Germani 120 ἀποφύγοντες Lo 123 κύριον] Θεὸν Bh 124 πατρὸς] πνεύματος Ck 125 ὁμολογοῦντος Pq 126 πρόξενον] στέφανον Bh 133 ἀπεδείξω Bd ἐπεδείξω Ck Bh

ἐν μήτρᾳ τὸν ἀχώρητον Θεὸν Λόγον,
θεοκυῆτορ· ὅθεν σε
οἱ πιστοὶ μακαρίζομεν.

ᾠδὴ η'. *Πάντα τὰ ἔργα τοῦ Θεοῦ*

Μαρτυρικῶς τὸν δυσμενῆ
καταβαλόντες,
ἀθλοφόροι πανθαύμαστοι,
βραβεῖα ἀθανασίας
ἄμφω εἰλήφατε
παρὰ τοῦ σωτῆρος Χριστοῦ εἰς τοὺς αἰῶνας.

Ἐπὶ τοῦ ξύλου, ἀθληταί,
ἀνυψωθέντες,
τοὺς ξεσμοὺς ὑπεμείνατε,
αἵμασι τοὺς ποταμοὺς
τῆς ἀπάτης ξηράναντες
καὶ πηγαὶ θαυμάτων πιστοῖς ἀποδειχθέντες.

Λύσιν ἡμῖν, Ἀμφιανέ,
ἁμαρτημάτων
δωρηθῆναι ἱκέτευε,
πίστει σου τοῖς ἐκτελοῦσι
μνήμην τὴν ἔνδοξον
καὶ ὑμνολογοῦσι τὰς σὰς ἀνδραγαθίας.

τριαδ. Οἱ ἀνυμνοῦντες εὐσεβῶς
πατέρα, υἱὸν
καὶ τὸ πνεῦμα τὸ ἅγιον,

---

134 Θεὸν om. Lo
heirm. η' EE 107, n. 150, Andreae Lo troparia hoc ordine refert II,I,III 137 τὸν] τῶ Ck 139 οἱ ἀθλοφόροι Ck 142 εἰς τοὺς αἰῶνας om. Lo 147 ξηραίνοντες Aα Bh Bd Pq 148 πηγὴ Bh Bd Lo Pq 149-154 troparium om. Ck Bd 149 ἀμφιανές Lo 152 πίστει σου τοῖς ἐκτελοῦσι σου Pq σου om. Lo τοὺς ἐκτελοῦντας Lo 153 τὴν μνήμην Bh Pq 155-160 τριαδ. om. Bd 155 οἱ ἀνυμνοῦντες] μίαν ὑμνοῦντες Ck 156 υἱὸν] Λόγον Aα Bh Lo Pq 157 καὶ τὸ πνεῦμα] καὶ πνεῦμα Pq

143-144 Passio, G. del Ton op. cit., f. 815. Ἔνθα νυχθημερὸν ἄμφω τὼ πόδε ἐπὶ τοῦ βασανιστικοῦ διαταθεὶς ξύλου...

κράζομεν σὺν ἀσωμάτοις·
ἅγιος, ἅγιος,
ἅγιος, τριὰς ὁ Θεὸς ὁ παντοκράτωρ.

τ. Σὲ τὴν σκηνὴν τὴν νοητήν,
ἐν ᾗ ὁ Λόγος
ὑπὲρ λόγον ἐσκήνωσεν,
ἄχραντε, ὑμνολογοῦμεν
καὶ μακαρίζομεν·
λύτρωσαι ἡμᾶς τῶν βελῶν τοῦ ἀλλοτρίου.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*
μεγαλεῖα ὁ δυνατὸς

Ἰδεῖν ἀξιωθέντες
τὰ αἰώνια ἀγαθά,
ἀγγέλων συγχορεύετε χοροῖς,
ἀθλοφόροι τοῦ Χριστοῦ,
ὑπὲρ ἡμῶν διὰ παντὸς
Θεῷ πρεσβεύοντες.

Ὡραῖον ὥσπερ ζεῦγος,
φυσικῇ συνδούμενοι
ἀγάπῃ καὶ στοργῇ τῇ πρὸς Θεὸν
σεμνυνόμενοι, σοφοί,
ἀγωνισάμενοι καλῶς,
δόξης ἐτύχετε.

Στρεβλώσεις πολυτρόπους,
84v ἀνυποίστους τε αἰ‖κισμούς,
σοφοί, καθυπομείναντες στερρῶς,
ἀθανάτους δωρεὰς
παρὰ τοῦ πάντων ποιητοῦ
Χριστοῦ ἐδέξασθε.

---

158 κράζοντες Bh 160 ὁ Θεὸς om Lo 163 ἐσκήνωσεν] κυήσασα Bd heirm. θ' EE 106, n. 149, Andreae 167-172 troparium om. Bd 169 συγχορεύεται Ck Lo 172 Θεῷ] ἀεὶ Bh 175 τῇ] τὲ Lo 179 πολυτρόποις Ck Lo Pq 180 ἀνυπίστοις Ck Lo 181 καθυπομείνατε Ck Bd 182 ἀθανάτου Lo 184 ἐδέξασθε] δοξάσθητε Ck

Ἡ θεία ὑμῶν μνήμη
ἀνατείλασα, τοὺς πιστοὺς
φωτίζει ὥσπερ ἥλιος φαιδρῶς,
ἣν τελοῦντας εὐσεβῶς
φωταγωγήσατε ἡμᾶς,
ἅγιοι μάρτυρες.

θεοτ. Φανεῖσα πλατυτέρα
οὐρανῶν, παρθένε ἁγνή,
στενώσεως ἡμᾶς πολυειδῶν
ἐλευθέρωσον παθῶν,
ὅπως ὑμνῶμεν εὐσεβῶς
τὰ μεγαλεῖά σου.

185-190 troparium om. Bd 187 φαιδρὸς Bh Lo Pq 188 τελοῦντες Ck Bh 189 φωταγωγῆσαι Lo 193 στενώσεων Pq 195 ὑμνῶμεν εὐσεβῶς] ὑμνῶ διηνεκῶς Bh

3 APRIL. *CANON* VIII

IN SANCTUM NICETAM

Synaxarium, 581: *Οὗτος ποθήσας τὴν ἐγκράτειαν καὶ παρθενίαν ηὐλίσθη ἐν ὄρεσι πάσης ἀρετῆς καὶ ἐτράφη ἐν πόλει τῆς ἡσυχίας καὶ* ὑψώθη ἀμφοτέρωθεν· λόγῳ δὲ θείῳ κυβερνώμενος, θεῖος οἰκονόμος ἐδείχθη καὶ πιστὸς ἱερεύς. Ἐξωσθεὶς δὲ τῆς ποίμνης παρὰ τῶν εἰκονομάχων ὡς τῶν θείων εἰκόνων προσκυνητής, ἐξορίαις πικραῖς ὑποβάλλεται καὶ ἐν πᾶσιν εὐχάριστος ἀναφανεὶς καὶ δόκιμος ἀγωνιστὴς ἅπασαν ψυχόλεθρον ἀπάτην τῶν θεομάχων κατέπτυσε, καὶ πολλοὺς τῇ προτροπῇ καὶ ταῖς παραινέσεσιν αὐτοῦ μάρτυρας ἀπειργάσατο· ὅθεν καὶ διπλᾶς τὰς λαμπάδας ἀνάψας τῆς ὁμολογίας καὶ ἀσκήσεως, διπλοῦς καὶ τοὺς στεφάνους ἐκ χειρὸς Κυρίου ἐδέξατο πρὸς αὐτὸν μεταστάς.

Crypt. Δ.α. XVII = Ck, ff. 125-129v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Νικήτα μέλπω τὴν νίκην τῆς πίστεως.
⟨Ἐν τοῖς θεοτοκίοις· Κλήμεντος⟩.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Νεοφανὴς ὥσπερ ἀστὴρ ἀνέτειλεν
τῇ ἐκκλησίᾳ Χριστοῦ
ὀρθοδοξίας λάμπων
βίου καθαρότητα,
ἀσκήσεως ἀκρίβειαν

tit. Ἕτερος κανὼν ⟨τοῦ ὁσίου Νικήτα ἡγουμένου Μηδικίου⟩ ed. Codex alternatis odis duo canones hoc ordine praebet: priorem | Τῷ φωτὶ τῆς θείας ἀστραπῆς, MR IV, 240-244; alterum quem referimus canonem Nomen Κλήμεντος om. in ed., deducitur autem e litteris capitalibus θεοτοκίων
heirm. α' EE 219, n. 314, Joannis

καὶ πραότητος τύπον
καὶ ταπεινώσεως ὕψωμα
ὁ ἐν τοῖς ἀγῶσι Νικήτας σαφῶς.

Ἱερουργήσας σεαυτόν, ἀοίδιμε,
ἀπὸ νεότητος
προεκληρώθης πίστει
τῷ Θεῷ ὡς ἄξιος·
καὶ κόσμον ἀρνησάμενος,
τῇ ἀσκήσει προῆλθες
σταυρώσας πάντα τὰ μέλη σου,
ὅσιε Νικήτα θεράπον Χριστοῦ.

Κραταιωθεὶς ὑποταγῆς τοῖς ἴχνεσιν,
ὑπακοῆς ἀληθῶς
ὤφθης υἱός, παμμάκαρ,
τῷ πατρὶ πειθόμενος,
ὡς Ἰσαὰκ ὁ ἔνδοξος·
διὸ θῦμα ἐδείχθης
Χριστοῦ ἑκούσιον, ἔνδοξε,
ὅλον σεαυτὸν τεθηκὼς τῷ Θεῷ.

Ἡ ἐκκλησία στεφανοῖ ὡς ἄξιον
τὸν νικητὴν τοῦ Χριστοῦ
ὀρθοδοξίας στέφει,
εὐσεβῶς κηρύξαντα
Χριστοῦ τὴν θείαν σάρκωσιν
προσκυνεῖσθαι ἐν τύποις·
αὐτὸν ἐν τούτοις τιμήσωμεν,
ὥσπερ τῶν πατέρων ἡ πίστις βοᾷ.

θεοτ. * Κυοφορεῖς τὸν ὑπὲρ φύσιν, ἄχραντε,
ἐν σοὶ σκηνώσαντα,
τὸν τοῦ πατρὸς Λόγον

6 τύπος 24 σεαυτῷ 33-40 θεοτ. MR II, 81 33 τῶν

20-21 Gen. 22,6-10; 24,2-10

5v ἐν ἁ‖γίῳ πνεύματι,
δυσὶ μὲν ἐν ταῖς φύσεσιν
καὶ θελήμασιν ὄντα
ἐν ὑποστάσει ἀτρέπτως μιᾷ,
ἧς καὶ τὴν μορφὴν ἀσπαζόμεθα.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι Θεός,
ὁ διασχίσας τὴν ἐρυθρὰν
θάλασσαν ῥάβδῳ μωσαϊκῇ
καὶ διαβιβάσας τὸν λαὸν
καὶ ὁδηγήσας αὐτὸν
καὶ διαθρέψας αὐτοὺς
ἐν τῇ ἐρήμῳ Σινᾷ
καὶ εἰσαγαγὼν αὐτοὺς
εἰς ὄρος ἁγιάσματος.

Τύπος ἀσκήσεως,
εἰκὼν πραότητος,
ἀκτημοσύνης ὑπογραμμὸς
καὶ ἐγκρατείας ὤφθης κανὼν
τοῖς θρέμμασιν, ὅσιε, τοῖς σοῖς,
ἔργῳ παιδεύων ἡμᾶς,
βίον στηρίζων ἡμῶν,
λόγῳ καθαίρων φαιδρῶς·
ὅθεν μακαρίζῃ νῦν
ὡς διδάξας καὶ πράξας καλῶς.

Ἁγνείας ἔσοπτρον,
νηστείας πρόγραμμα,
⟨καὶ⟩ κατανύξεως χαρακτὴρ
ὤφθης τῷ βίῳ θεοπρεπῶς
τοῖς θείοις σου ἤθεσιν, σοφέ·
τὸ ταπεινὸν γὰρ τῆς σῆς,

38 θελήσεσιν MR   39 δ' ἀτρέπτως MR   40 ἧς] εἰς cd.
heirm. β' EE 228, n. 327, Andreae   7 αὐτὸν EE   9 αὐτὸν EE
47 ἡμᾶς   49 μακαρίζει   53 καὶ ipse scripsi metro et sensu coactus

πάτερ, ἐντεύξεως
καὶ τῆς γυμνότητος
διεβεβαιοῦτό σοι
τὸ χιτώνιον ῥάκος τρανῶς.

Μάρτυς ἀνέφανας
καὶ δίχα μώλωπος
ὡμολόγησας εἰλικρινῶς
ἐν παρρησίᾳ, πάτερ, πολλῇ
τὸ εἶδος τιμᾶσθαι τοῦ Χριστοῦ,
ἐν φυλακαῖς εὐδοκῶν,
ἐν ἐξορίαις ἀθλῶν
καὶ ἐν λιμῷ καρτερῶν·
ὅθεν τὸ εἰσίδρυον
ὡς παλάτιον ᾤκησας.

θεοτ. Λύτρωσιν ἔτεκες,
ζωὴν ἐγέννησας,
τὸν ἐν ἀρχῇ Λόγον τοῦ πατρὸς
πνεύματι θείῳ ἄνευ σπορᾶς
ἀσώματον ὄντα τὸ πρόσθεν,
σωματοφόρον δὲ
ἐκ σοῦ τεχθέντα ἡμῖν,
οὗ τὴν ἐμφέρειαν
τῆς μορφῆς ἐγγράφοντες
σχετικῶς ἀσπαζόμεθα.

f. 126 ‖ ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Εὐδοκιμῶν θεοπρεπῶς
ὑποταγῆς ἐν τοῖς πόνοις,
τακτικῶς ἐπὶ τὸ ἄρχειν προέβης
καὶ ὁσίως καὶ πιστῶς
Χριστοῦ τὴν ποίμνην ἴθυνας·

65 τιμᾶσθε
heirm. γ' EE 219, n. 314, Joannis   82 τῆς   83 αὔχην

διὸ ἐν ἀμφοτέροις,
πάτερ, εὐάρεστος ὤφθης Θεῷ.

Λόγῳ τὴν πίστιν βεβαιῶν,
ἔργῳ τὴν πρᾶξιν κηρύξας,
ἀρετῶν καὶ ὀρθοδόξων δογμάτων
ἀνεδείχθης μυστικῶς
διδάσκαλος, μακάριε,
θεοπρεπῶς προτρέπων
τὴν τοῦ σωτῆρος τιμᾶσθαι μορφήν.

Πάντα τὰ μέλη τῆς σαρκὸς
παιδαγωγήσας σωφρόνως,
ὀφθαλμὸν καὶ ἀκοὴν καὶ τὴν γλῶτταν,
ἀγγελικῶς ἐπὶ τῆς γῆς
ἐβίωσας, πατὴρ ἡμῶν·
ἀλλὰ Χριστῷ προσεύχου
σῶσαι τὴν ποίμνην σου, ὅσιε.

εοτ. Ἡ ἀπειρόγαμος νηδὺς
τὸν ἀπερίληπτον Λόγον
εὐδοκίᾳ τοῦ πατρός τε καὶ συνεργίᾳ,
πνευματικῶς δὲ νῦν αὐτὸν
σωματοφόρον τέτοκας,
οὗ τῆς μορφῆς τὸ εἶδος
δόγμασιν θείοις σεβόμεθα.

Κάθισμα.

Ἦχος γʹ. *Θείας πίστεως ὁμολογίᾳ*

Νίκης στέφανον ἐκ τοῦ κυρίου
δι᾿ ἀσκήσεως χαίρων ἐδέξω,
ὁμολογίᾳ, θεοφόρε, κοσμούμενος
καὶ τῶν αἱρέσεων πᾶσαν διήλεγξας
τὴν ματαιότητα θείοις σου δόγμασιν,
πάτερ ὅσιε,
Χριστὸν τὸν Θεὸν ἱκετεύων.

heirm. καθ. HR, 148

⟨Κάθισμα⟩ ἄλλο.

Ἦχος δʹ. *Ταχὺ προκατάλαβε*

f. 126ᵛ || Ηὐλίσθης ἐν ὄρεσιν
τῆς ἡσυχίας, πατήρ,
. . . .

ᾠδὴ δʹ. *Σύ μου, Χριστέ, κύριος, σύ μου καὶ δύναμις*

Ὡς ταπεινὸς
γέγονας πᾶσιν ἀπείραστος,
ἔργῳ φέρων
Παύλου τὰ γνωρίσματα,
τοῖς ἀσθενοῦσι συνασθενῶν
γνώμῃ συμπαθείας
καὶ τοῖς ῥαθύμοις συγκάμνων, σοφέ,
τοῖς πάσχουσι συμπάσχων
καὶ τοῖς πίπτουσιν, πάτερ,
ἀρετῶν ἐπανόρθωσις γέγονας.

Τὸ ἐγκρατὲς
τίμιον τῆς σῆς βιώσεως
καὶ τὸ πρᾶον
ἄμφω καὶ ἡσύχιον
καὶ ἡ τοῦ ἤθους τοῦ καθαροῦ
θεία μετριότης
καὶ τῆς ψυχῆς τὸ φιλόξενον
καὶ νῦν σέ, μὴ παρόντα,
ζωγραφοῦσιν, ὡς ὄντα
καὶ λαλοῦντα τοῖς τρόποις, Νικήτα σοφέ.

Ἡ καθαρὰ
πίστις σου, πάτερ μακάριε,
ὀρθοδόξως

alterum καθ. MR IV, 241
heirm. δʹ EE 219, n. 314, Joannis

113 II Cor. 11,29

27 || λάμψασα τοῖς πέρασιν
ὁμολογίαν εἰλικρινῆ,
ἤμβλυνεν τὰς κόρας
τῶν προστατῶν τῆς αἱρέσεως,
τρανῶς Χριστοῦ τὸ εἶδος
προσκυνεῖσθαι βοῶσα·
« τῇ δυνάμει σου δόξα, φιλάνθρωπε ».

* Μόνη, ἁγνή,
πέφηνας καὶ μετὰ γέννησιν
μόνη ἔφυς
ἄνανδρος θηλάζουσα
τὸν τοῦ πατρὸς Λόγον ἀληθῆ
πνεύματι ἁγίῳ,
λαβόντα δούλου μορφὴν καθ' ἡμᾶς,
παρθένε θεοτόκε,
οὗ τὴν θέαν τιμῶντες
τῆς μορφῆς τὴν ἐμφέρειαν σέβομεν.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Νικητὴς ἀνεδείχθης
τῶν δαιμόνων, ὅσιε, καὶ τυραννούντων ἐχθρῶν
ὡς νηστείας ὅπλοις
καὶ τῆς ὀρθοδοξίας τοῖς δόγμασιν
ἀμφοτέρους, πάτερ,
καταβαλών, εἰκότως εὗρες
τὸ τῆς νίκης φερώνυμον ὄνομα.

Νέος ὤφθης, θεόφρον,
νῦν Ἰὼβ θεάρεστος τοῖς κατορθώμασιν,
ὑπομείνας θλίψεις

---

138 φιλάνθρωπε om. 139-148 θεοτ. MR II, 83 140 πέφυκας MR 141 ἔφυς] ὤφθης MR 147 θέαν τιμῶντες MR μνήμην τελοῦντες cd. mutua locutio a quodam natalicio carmine accepta
heirm. ε' EE 219, n. 314, Joannis

156-159 Cfr. Jac. ep. 5,11; Job. 1,8

καὶ πεινῶντας πολλοὺς διαθρέψας πτωχούς·
διὸ ἀνεδείχθης
ἀγωνιστὴς ὀρθοδοξίας·
μέχρι τέλους Χριστὸν γὰρ ἠγάπησας.

Ἰατὴρ τῶν μωλώπων
καὶ τραυμάτων ἴασις τῶν ἐναμάρτων ψυχῶν
φανερὸς ἐδείχθης,
f. 127v διακρίσει || τοὺς πάντας ἰώμενος
καὶ Θεῷ κάρπωμα
τούτους ποιῶν, πρὸς μετανοίας
ἐπιστρέφεις ὁδὸν τὴν σωτήριον.

θεοτ. Ἐν δυσὶ ταῖς τελείαις
φύσεσι γινώσκομεν ἕνα σε κύριον,
ἐνεργείαις ἄμφω
καὶ θελήμασιν ὄντα ἀσύγχυτον,
τὸν υἱὸν τοῦ Θεοῦ
ἐκ γυναικὸς λαβόντα σάρκα
εἰς τὴν θέαν τιμῶμεν τοῖς πίναξιν.

ᾠδὴ ς'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Κανόνα σε ἀληθῶς εὐποιΐας
τὸ φιλόξενον τοῦ τόκου δεικνύει·
οὐ γὰρ πιστοὺς
διεθρέψω καὶ μόνον,
ἀλλὰ καὶ ἔθνη πεινῶντα ἐκόρεσας·
κυρίου γὰρ ὡς μιμητὴς
ἐπὶ πάντας τὸ ἔλεος ἥπλωσας.

Ἠρέθισας τὸ ἡσύχιον ἦθος
σοβησάμενος ἀνθρώπων συλλόγους·

---

heirm. ς' EE 219, n. 314, Joannis 164 ἐφαρμάτων 179 πιστῶς 184 ἠρέθησαν

179-181 AA. SS. Aprilis I, (1675) XXXII, § 47: ... τοῖς ἐνδεέσιν ἐπαρκῶν τὰ πρὸς τὴν χρείαν οὐ μόνον τοῖς πιστοῖς, ἀλλὰ καὶ εἰς ἀπίστους τὴν ἐλεημοσύνην ἐπιδείκνυεν.

179-181 Cfr. Matth. 14,13-21

τῷ γὰρ Θεῷ
καθαρῶς προσωμίλεις
ἐν καθαρᾷ προσευχῇ σου, θεόληπτε,
τὸ ἄτυφον καὶ γαληνὸν
ὡς ἐξαίρετον φέρων ἰδίωμα.

Νεάζων θεοπρεπῶς ἐν τῇ πίστει
καταπλήττειν μετὰ γήρους προέθου
καὶ συμβαλὼν
Μανιχαίων τὸ δόγμα
τὰς ἐκκλησίας αὐτῶν περιώρισας,
εἰκόνα δὲ Χριστοῦ προσκυνεῖν
τῆς σαρκὸς εἰς βεβαίωσιν θέμενος.

[θε]οτ. || Νενέκρωται ἐπὶ σοί, πανύμνητε,
τῆς προμήτορος ἡ πρώην κατάρα,
ὅτι Χριστὸν
εὐλογίαν τῷ κόσμῳ
καὶ σωτηρίαν ἐκύησας φέροντα·
καὶ νῦν δὲ ὡς ἀληθῶς
μὴ παρίδῃς ἡμῶν τὰς δεήσεις, ἀγνή.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Τῷ πυρὶ τῆς ἁγνείας
πυρπολούμενος, πάτερ,
τὸ πῦρ κατέσβεσας
εἰκότως τῆς σαρκός σου,
παρθένον προσενέγκας
τὴν ψυχὴν καὶ τὸ σῶμα Χριστῷ·
διὸ παρθένων χοροῖς
συμψάλλεις εἰς αἰῶνας.

200 Χριστὸς 203 ἀληθῆ
heirm. ζ' ΕΕ 224, n. 321, Joannis 205 ἀγνοίας

198-199 Cfr. Gen. 3,16-17

Ἡ γλυκύτης τῶν τρόπων
τοῦ ἐνθέου σου βίου
πᾶσιν ἐπέραστον
ἀνέδειξέν σε, πάτερ·
ἐπόθεις γὰρ τοὺς πάντας
ὑπὸ πάντων ποθούμενος·
διὸ καὶ νῦν αἴτησαι
τὴν πάντων σωτηρίαν.

Συνεχόμενος χρόνοις
ταῖς πικραῖς ἐξορίαις
καὶ ταῖς ἀφύκτοις φρουραῖς,
ὑπέμεινας γενναίως
καὶ μάρτυς ἀνεδείχθης
ἄνευ αἵματος, ὅσιε,
μεθ' ὧν δοξάζεις ἀεὶ
Χριστὸν εἰς τοὺς αἰῶνας.

θεοτ. * Τὸ ἡμέτερον ὅλον
ἐκ παρθένου φορέσας
f. 128v δίχα τρο||πῆς, Ἰησοῦ,
ταῖς φύσεσι διπλοῦν σε,
ἀλλ' ἕνα ὑποστάσει
πατρικῶς σε κηρύττομεν·
ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Προπιανθεὶς ἀσκήσεως
τῷ ἐλαίῳ, μακάριε,
ἤχθης παρατάξασθαι στερρῶς πρὸς αἵρεσιν,
τὰ πάτρια δόγματα

213 τὸν τρόπον 229-236 θεοτ. MR II, 86 230 φορέσας] λαβόντα MR
heirm. η' ΕΕ 219, n. 314, Joannis

ἐπικρατύνων πίστει ὀρθῇ
καὶ τῶν ἀθετούντων προσκυνεῖν τὴν μόρφωσιν
Χριστοῦ τὴν κατὰ σάρκα,
ὡς Ἐλύμαν τὸν μάγον
ἀπέδειξας τυφλώττειν
πρὸς τὴν ὀρθοδοξίαν.

Ἱερουργῶν τὸν βίον σου
τῷ Θεῷ δι' ἀσκήσεως,
ὤφθης ἀληθῶς ἱερουργὸς ψυχῶν λογικῶν,
ἁγνίζων διδάγμασιν
καὶ ἀποσμύχων ταῦτα σφοδρῶς,
τύπον σεαυτὸν ἱερωσύνης παρέχων
καὶ χρίσματι καὶ τρόπῳ
τοῖς σοφοῖς φοιτηταῖς σου,
Χριστῷ ἱερατεύων
ἁγνῶς εἰς τοὺς αἰῶνας.

•

129 ‖ Συνευκλεΐζῃ, ὅσιε,
τοῖς ἁγίοις πατράσι πιστῶς,
ὡς καὶ τῆς αὐτῶν ὁμολογίας σύμψηφος
ἐντεῦθεν γενόμενος
καὶ τῆς στερρᾶς ἀθλήσεως
καὶ τῆς πολιτείας μιμητὴς καὶ συμμύστης·
διὸ καὶ σὺν αὐτοῖς σε
δυσωποῦμεν, κυρίῳ
μὴ παύσῃ ἱκετεύων
ὑπὲρ τῶν σὲ ὑμνούντων.

τ. * Ὁ τῷ πατρὶ καὶ πνεύματι
ὁμοούσιος Λόγος ἐκὼν
ὤφθη καὶ ἡμῖν ἐκ τῆς παρθένου σύμμορφος,
οὐ φύρας εἰς ἄλληλα
τὰ τῆς φρικτῆς ἑνώσεως·
εἷς γὰρ ὁ αὐτὸς ἐν ἀμφοτέροις δείκνυται

247 ἱερουργὸν 252 σεαυτῷ 256 ἁγνὸς 267-276 θεοτ. MR II, 87
272 ἀμφοτέροις] ἑκατέροις MR

244-245 Act. 13,8-11

ἐν δύο ταῖς οὐσίαις
καὶ μιᾷ ὑποστάσει,
δι' ἧς τῆς ἐμφερείας
τὸν τύπον προσκυνοῦμεν.

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Τὸ ἄγρυπνόν σου ὄμμα καὶ ἡ ψυχὴ
ταῖς πυκναῖς ὑμνῳδίαις σχολάζουσα
ἀγγελικὸν
βίον σοι παρεῖχεν ἐπὶ τῆς γῆς,
τὸν τοῦ κυρίου ἔπαινον
πνεύματι καὶ γλώσσῃ ἀναφωνῶν·
διό σε τῶν ἀγγέλων,
σοφέ, ὁ πρωτοστάτης
συνυμνῳδὸν αὐτῷ προσήκατο.

f. 129v ‖ Ἐξέστησαν καὶ ἔθνη τὸ συμπαθὲς
τῆς πολλῆς σου, σοφέ, δεξιώσεως
καὶ τοὺς αὐτῶν
νόμους ἀθετήσαντες ἐμφανῶς,
τοὺς ἀκαμπεῖς αὐχένας δὲ
κλίναντες, προσέπεσαν ἐπὶ γῆς·
καὶ οὓς θανάτου ξίφος
οὐ πείθει ταπεινοῦσθαι
τούτους ἡ σὴ ἀρετὴ κέκαμφθαι.

Ὡς δῶρα τῷ κυρίῳ ἐξιλασμοῦ
ἐν ἡμέραις ἁγναῖς προσενήνοχας
τὸ καθαρὸν
πνεῦμά σου, θεράπον ὄντως Χριστοῦ,
πρὸς ἀμοιβὴν τῶν πόνων σου
ἄξιον τὸ πέρας κατειληφώς·

275 δι' ἧς] ἧς νῦν MR 280 σου 288 αὐτοῦ
heirm. θ' EE 220, n. 314, Joannis 289 ἀθετήσαντας 293 ταπε[illegible]σθε

τὸν δρόμον γὰρ τελέσας
τῶν θείων σου ἀγώνων,
ὑπομονῆς στέφος ἀπείληφας.

* Συνείληφας, παρθένε, τὸν τοῦ πατρὸς
ὁμοούσιον Λόγον ἐν πνεύματι
καὶ ὡς βροτὸν
τέτοκας ἀσπόρως μετὰ σαρκὸς
ἀναλλοιώτως μείναντα
ἕνα, τὸν αὐτὸν ὄντα ἐπ' ἀμφοῖν,
οὗ σέβοντες τὸ εἶδος
γεραίροντες τὴν σχέσιν,
τὴν τῶν ᾀσμάτων περαιοῦμεν ᾠδήν.

303 ὑπομονῆς τὸ φῶς γὰρ εἴληφας quae locutio intellectu caret 304-312 θεοτ. NS 28 (1933) 736 305 καὶ πνεύματος NS 308 ἀναλλοίωτον NS 311 καὶ σὲ ὡς Θεοτόκον NS καὶ χαίροντες cd. 312 δοξολογοῦντες μεγαλύνομεν NS

301-303 II Tim. 4,7-8

IN SANCTUM JOSEPH HYMNOGRAPHUM

Synaxarium, 581-584: Οὗτος ὑπῆρχεν ἐκ τῆς Σικελῶν ἐπαρχίας γεννητόρων Πλωτίνου καὶ Ἀγάθης. Πορθηθείσης δὲ τῆς τούτου πατρίδος, σὺν μητρὶ καὶ ἀδελφοῖς διαφυλαχθεὶς ἦλθεν εἰς Πελοπόννησον· ἐκεῖθεν ἀπάρας ἦλθεν εἰς Θεσσαλονίκην. Πεντεκαιδέκατον ἔτος ἄγων ἀποκείρεται ἔν τινι μοναστηρίῳ· καὶ ἦν διερχόμενος πᾶσαν τὴν θείαν γραφήν, ... παρεκάλεσαν τὸν ἅγιον Γρηγόριον οἱ ὀρθόδοξοι στεῖλαι εἰς Ῥώμην τὸν Ἰωσήφ, ... Καὶ ὁ μὲν ἐξέπλει, πλοῖα δὲ ἐπιστάντα βαρβαρικὰ δεσμώτην εἰς Κρήτην ἀπήγαγον..... καὶ ὁ τίμιος Ἰωσὴφ ἐλευθερωθεὶς τῆς εἱρκτῆς πρὸς τὴν Κωνσταντινούπολιν διεσώζετο. Ἐν δὲ τοῖς ὁρίοις τῆς Θεσσαλονίκης γενόμενος, λείψανον εὑρὼν τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου..... μελῳδήμασι τὰς αὐτοῦ πανηγύρεις κατακοσμῆσαι καὶ σὺν δάκρυσι καὶ στεναγμοῖς ἠξίου τοῦ ποθουμένου τυχεῖν· τοιγαροῦν καὶ ἐπέτυχεν. Ὁρᾷ γὰρ νύκτωρ ἄνδρα τινὰ φοβερὸν ἐν ἀποστολικῷ τῷ σχήματι ἀπὸ τῆς ἱερᾶς τραπέζης εὐαγγέλιον ἀράμενον καὶ τοῖς στέρνοις αὐτοῦ ἐπιθέντα καὶ εὐλογίας αὐτὸν ἀξιώσαντα. Καὶ ἔκτοτε ἔλαβε τὸ χάρισμα τῆς ὑμνῳδίας, καὶ οὕτως ἀπόνως καὶ μετ' εὐκολίας τὰς ἱερὰς μελῳδίας ἅπασαν τὴν ἐκκλησίαν ἐφώτισεν ἐν ὕμνοις. Ἐντεῦθεν τοῖς ἁπάντων στόμασιν ᾄδεται πᾶσι ποθεινὸς καὶ ἐπέραστος.....

Crypt. Δ.α. XVII = Ck, ff. 129v-131v
Crypt. Δ.α. VIII = Do, ff. 10-12
Vat. gr. 2008 = Vm, ff. 132-133
Paris. gr. 1565 = Rf, ff. 15v-20v
Paris. gr. 341 = Pq, pp. 227-232

Ὁ κανών· ⟨Εὐοδίου ?⟩

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Ἀισματικῶς
τὸν ὑμνογράφον τιμήσωμεν,

tit. Ἕτερος κανὼν Ἰωσὴφ τοῦ ὑμνογράφου Ck Εἰς τὸν ὄρθρον κανὼν Ἰωσὴφ ὑμνογράφου Do Ὁ κανὼν ποίημα Εὐοδίου Pq τῷ αὐτῷ Δ' τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωσὴφ τοῦ ποιητοῦ Rf
heirm. α' EE 37-38, n. 51, Cosmae 1 ἀσματικοῖς Rf

οἱ τὰ αὐτοῦ μελίρρυτα
ᾄσματα ᾄδοντες,
Ἰωσήφ, ὡς ἐξ ὕμνων
εἰς ὕμνους αἰωνίους
μεταναστεύσαντα.

Ὡς προφητῶν
καὶ ἀποστόλων τὸ κήρυγμα
πᾶσαν τὴν γῆν κατέλαμψεν,
οὕτως οἱ ὕμνοι σου
τῶν χειλέων τὸν κόσμον
πρὸς δόξαν τοῦ τῶν ὅλων
Θεοῦ ἐγείρουσιν.

Ἐξ ἀγκαλῶν
ἀνατεθεὶς τῷ Θεῷ, Ἰωσήφ,
ἀσκητικῶς ἐβίωσας·
ὅθεν χαρίσμασιν
σὲ πεπλούτηκεν θείοις
ἐλπίδι καὶ ἀγάπῃ
καὶ πίστει εἰλικρινεῖ.

* Σὲ προφητῶν
πάλαι ὁ θεῖος κατάλογος
πύλην Θεοῦ προήγγειλεν
καὶ ὄρος ἅγιον,
θεοτόκε παρθένε,
τῶν θείων ἀθλοφόρων
τὸ ἐγκαλλώπισμα.

ᾠδὴ γ΄. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Ἁγνείας ἐρασθείς,
Θεὸν ἱκέτευσας

11 ὁ ὕμνος Pq 12 χειλέων σου τὸν Pq 13 πρὸς] εἰς Vm 16 τῷ Θεῷ Ἰωσήφ] Ἰωσὴφ τῷ Θεῷ Rf Ἰωσὴφ τῷ Χριστῷ Pq 22-28 θεοτ. MR II, 240 cfr. p. 147 Pro hoc θεοτ. alterum legimus in Pq: Οἱ διὰ σοῦ τὴν ἀφθαρσίαν .... MR IV, 85 27 ἁπάντων τῶν ὁσίων Do Vm
heirm. γ΄ EE 39, n. 53, Cosmae 29 ἐρασθεὶς] ἐραστὴς Pq

ὀρέξαι
μεσίτας προκεχρημένος
τοὺς ἀλήπτας καὶ πατέρας σου
καὶ τετύχηκας, πάτερ,
τῆς ἐλπίδος σου.

f. 130 ‖ Ἀγάπης ἐναργοῦς
δεικνύων γνώρισμα
καὶ πρᾶξιν
καὶ τὴν σοφίαν ἐκτήσω
τὴν θεόθεν δωρηθεῖσάν σοι,
ὥσπερ θύρας Ἰὼβ
τοῖς πᾶσιν ἤνοιξας.

Βαρβάρων συσχεθεὶς
χερσίν, πανόλβιε,
ὡς πάλαι
κατ᾽ Αἴγυπτον ὁ γενναῖος
Ἰωσήφ, μετὰ τῆς πίστεως
καὶ ἁγνείας τὸ δῶρον
διετήρησας.

θεοτ. Παράδεισος τερπνὸς
ἐν μέσῳ ἔχουσα
τὸ ξύλον,
παρθένε, τῆς ἀφθαρσίας,
Ἰησοῦν Χριστὸν τὸν κύριον,
ἐπεγνώσθης· διό σε
μακαρίζομεν.

32 μεσίταις προσκεχρημένος Rf προσκεχρημένος Do Pq 33 τοῖς ἀλείπταις καὶ πατράσι σου Rf ἀλήπτας = ἀλήπτους ut προφήτας teneas 38 καὶ οἶκον καὶ πρᾶξιν Rf Pq 39 ἐκτήσω] ἐκτίσω Ck θεόφρον Do Vm om. Rf Pq 40 τὰ θεόθεν δωρηθέντα σοι Rf 50-56 θεοτ. cfr. p. 148 aliud θεοτ. praebet Pq: Ὁ μόνος ἀγαθὸς τὴν σὴν σαρκούμενος ... MR IV, 86

41-42 Job. 31,32 43-47 Gen. 37,28

Κάθισμα.

῏Ηχος πλ. α΄. *Τὸν συνάναρχον Λόγον*

Τὸν ἡσύχιον βίον ἀπὸ νεότητος
ἐν Χριστῷ ἀγαπήσας, πάτερ μακάριε,
ἀπεσείσω κοσμικὴν
πᾶσαν προσπάθειαν
καὶ τὸν σταυρὸν ἀναλαβών,
ἠκολούθησας θερμῶς
Θεῷ τῷ πάντων δεσπότῃ,
πρὸς ὃν καὶ χαίρων μετέστης,
πράξεσι θείαις καταλαμπόμενος.

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν

Διακρίσεως γνώμονα
καὶ μοναστῶν
σὲ σύμμετρον κανόνα
ὁ Χριστὸς ἀνέδειξε, πάτερ ὅσιε.

Ταπεινώσεως γέφυραν
τὴν σεαυτοῦ
ὑπέδειξας, θεόφρον,
πολιτείαν, φέρουσαν πρὸς τὴν ὄντως ζωήν.

Προλαβὼν ἐμακάρισεν
σὲ ὁ δεσπότης,
πάτερ, ὡς διδοῦντα
ἐν καιρῷ τοῦ λόγου τὸ σιτηρέσιον.

κάθ. om. Do Vm; in Rf verba contacii invenimus (v. post odem ς΄) quae officium καθίσματος implent. Sequitur in Rf θεοτ: Ὡς ἀγεώργητος, παρθένε, ἄμπελος ... MR III, 239 et σταυροθεοτ.: Ἡ ἀπειρόγαμος ἁγνὴ καὶ μήτηρ σου ... MR I, 513

heirm. odes δ΄ deest in EE, vide MR I, 96 Do hoc ordine praebet troparia II. I. III. 64 ὄντως] ἄνω Do 67 διδόντα Do Rf Pq 68 σωτηρέσιον Vm

θεοτ.

Φῶς ἐπέφανας, κύριε,
τοῖς ἐν νυκτὶ
καὶ σκότει τῶν πταισμάτων,
ἐξ ἁγνῆς παρθένου κυοφορούμενος.

ᾠδὴ ε΄. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Οὓς ἐπὶ γῆς ἐνδημῶν
ἁγίους ὕμνησας πιστῶς, ὅσιε,
τούτοις συνὼν
νῦν καὶ ἐπακούων
τῶν ὕμνων, μετ᾽ αὐτῶν
ἀγάλλῃ, δοξάζων
ἀπαύστως τὸν κύριον.

Πρὸς τὴν μετάνοιαν
καὶ ἐξαγόρευσιν, σοφέ, ἅπαντας
ἕλκων σαυτῷ
ὑπέγραψας πᾶσαν
αἰτίαν, προσευχὰς
Θεῷ ἀναφέρων
τυχεῖν συγχωρήσεως.

Ὅλον τὸν βίον σου
ταῖς τῶν ἁγίων ἀσχολῶν πράξεσιν
ὡς ἀληθῶς
ἔμπορος ἐγένου,
ὡς λίθους τιμίους
καὶ λόγους καὶ πράξεις
σαυτῷ ἐξωνούμενος.

f. 130v θεοτ.

* ‖ Ῥῦσαι ἡμᾶς πειρασμῶν
καὶ καταιγίδος λογισμῶν, ἄχραντε,
πάσης ὀργῆς,
πάσης ἁμαρτίας,

---

aliud θεοτ. praebet Pq: Ὑμνολογοῦντες, ἄχραντε, τὸν ἐν γαστρὶ τῇ σῇ ... NTh, 24

heirm. ε΄ EE 38, n. 51, Cosmae 73 ἐκδημῶν Ck ἐν δυμῶν Rf 74 πιστῶς, ὅσιε, om. Pq 75 τούτους Ck σὺν ὧν Vm 77 τὸν ὕμνον Ck Pq 80 μετάνοιαν] μετάρσιον Pq 82 ἅπαντες Pq 84 προσευχῆς Do Vm 93 αὐτῶν Rf Pq 94-100 θεοτ. ETh, 181

λοιμοῦ τε καὶ λιμοῦ
καὶ τῆς αἰωνίου,
παρθένε, κολάσεως.

ᾠδὴ ς΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἡ ποικίλη πληθὺς τῶν ᾀσμάτων σου,
ὡς ἐν στερεώματι τῆς ἐκκλησίας Χριστοῦ
ἀστροφανῶς ἐκλάμπουσα,
νυσταγμὸν ἀπελαύνει ψυχόλεθρον.

Ἡ τοῦ λόγου σου ἔντευξις, ὅσιε,
τοῖς κατὰ ψυχὴν ἀθυμοῦσι καὶ σώμασιν,
οἷά τις σπόγγος, ἅπασιν
ἀνιμᾶν τὴν κατήφειαν πέφηνεν.

Τοῖς λιμώττουσι λόγον σωτήριον
καὶ σωματικαῖς πιεσθεῖσι κακώσεσιν
τὰς καταλλήλους, ὅσιε,
θεραπείας ἀφθόνως μετέδωκας.

οτ. * Ἐν ὁδῷ με τοῦ βίου πλανώμενον
καὶ ταῖς ἀνοδίαις συχνῶς περιπίπτοντα
τῆς ἁμαρτίας, δέσποινα,
μετανοίας πρὸς τρίβους ὁδήγησον.

Κοντάκιον.

Ἦχος δ΄. *Ἐπεφάνης σήμερον*

Ὤφθης πρᾶος, ἥσυχος
καὶ ταπεινόφρων,

98 λιμοῦ τε καὶ λοιμοῦ Do Vm Rf ETh aliud θεοτ. praebet Pq: Ὡς ἀκατάληπτον καὶ δυσθεώρητον ... MR IV, 247
heirm. ς΄ EE 34, n. 46, Joannis 102 τῇ ἐκκλησίᾳ Rf Pq 106 σώματι Do Rf Pq 107 ἅπασαν Pq 108 ἀνιμῶν Rf πέφυκε Do Vm 110 πιαισθήσει (sic) Ck πιεσθεῖ σε Rf 111 τῆς καταλλήλου Rf 112 διέδωκας Pq 113-116 θεοτ. ETh, 181 cfr. p. 151 Hoc θεοτ. praebet Pq: Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα ... MR II, 400.
κοντάκ. post odem γ΄ praebet Rf κοντάκ. canoni praeponitur in Vm heirm. κοντακ. HR, 169

τρέμων θεῖα λόγια
τοῦ σοῦ δεσπότου καὶ πληρῶν·
ὃς ἐν σοί, πάτερ, ἐπέβλεψεν
καὶ πρὸς τὰς ἄνω μονὰς κατεσκήνωσεν.

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ τῶν ⟨Ἐθνῶν?⟩*

Γαλήνης θείας χορηγὸς
ὑπάρχων, ὦ Χριστέ μου,
....

ᾠδὴ ζ΄. *Ῥήτορες*
ἀνεδείχθησαν παῖδες

Ἔσπευσας
καὶ μεθ' ὕπνον θανάτου
κεκαλυμμένους τῆς ψυχῆς
τοὺς ὀφθαλμούς σου μὴ ἔχειν·
συμμελῳδεῖς γὰρ ὕμνους τοῖς ψάλλουσιν·
« ὁ ὑπέρθεος
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Στέφανον
μαρτυρίου κομίζῃ
f. 131 ὡς μακαρίσας ἐμμε‖λῶς
χοροὺς μαρτύρων ἀπείρους
καὶ ἀσιγήτως, πάτερ, συμψάλλων αὐτοῖς·
« ὁ ὑπέρθεος

5 ὃς] ὡς Pq πάτερ om. Pq οἶκ. Anth I ρια΄ in Vm Rf Pq deest aliud praebet Do: Τίς σε ὑμνήσει γηγενῶν / ἀξίως, Ἰωσὴφ πάτερ, / τὸν πάντα ὑμν[illegible]ότα / ἀξίως ὡς σοὶ χάριν / μεγάλην ἔδωκε Χριστός, / τῶν ἁγίων πλήθη, / ἀποστόλους ἀ[illegible]ητάς, / ἀγγελικὰ συστήματα, / ἅπαντας ἱεράρχας, ὁσίους τε / στῖφος δικαίων ἅπαν / καὶ γ[illegible]ῖκας τὰς πολύτλας; / Ὁ ἥλιος τῆς δικαιοσύνης, / ὃς τῇ σῇ ἱερᾷ κοιμήσει / τοὺς πάν[illegible] ἐκφορεῖσθαι οὐρανῶν / πρὸς ὑπαντήν σου ἔκρινεν ἁγνοὺς / σεμνῶς σε πρὸς θρόνους φ[illegible]ειν· / καὶ πρὸς τὰς ἄνω μονὰς κατεσκήνωσες.
heirm. ζ΄ EE 35, n. 47, Joannis 121 σὺ μελῳδεῖς Pq ὕμν[illegible] Pq 129 συνψάλλων Ck συμψάλλεις Do Vm Pq συ ψάλλεις Rf

τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ἴαμα
ἁμαρτίας μεγάλας
ὡς καταπαῦον νῦν σαφῶς
ἐξομολόγησιν ἔθου
τοῖς μελῳδοῦσιν, πάτερ, τοὺς ὕμνους σου·
« ὁ ὑπέρθεος
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. Φωτός σου,
θεοτόκε παρθένε,
καθαρωτάταις ἀστραπαῖς
τὴν σκοτισθεῖσαν ψυχήν μου
ταῖς πονηραῖς δεινῶν παραβάσεσιν
φωταγώγησον,
πύλη οὖσα τοῦ φωτός,
ὅπως ὑμνολογῶ σε.

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὥσπερ παρόδιον σκηνὴν
τὴν παροῦσαν ἀληθῶς ζωὴν γινώσκων,
τῆς ἀφθάρτου λαβέσθαι
διηγωνίσω, σοφέ·
ἐντεῦθεν
σεπτὰ ἀσκητήρια
πλεῖστα ἀνεδείμω
ψυχῶν εἰς σωτηρίαν.

Τὸ ἀμνησίκακον τὸ σὸν
καὶ ἡ χύσις τῆς ἀγάπης σου, τρισμάκαρ,
τὴν εἰκόνα παρίστη

135 ἀκαταπαύων ἦν σαφῶς Ck νῦν σαφῶς] ἦν σοφῶς Rf ἦν σοφῶς Pq 141-148 θεοτ. cfr. p. 152; aliud praebet Pq: Ἴασαι τῆς ψυχῆς μου τὰ πάθη ... MR IV, 88 145 δεινῶς Do Vm

heirm. η' EE 35, n. 47, Joannis Troparia hoc ordine disposita sunt in Do Vm Rf: I. III. II. IV 157-164 trop. deest in Pq

τοῦ φιλανθρώπου Χριστοῦ,
πρὸς ὅνπερ
ἀνενδότως ἔμελπες·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

Μετὰ τοῦ πράου τὸ εὐθὲς
καὶ τὸ πνεύματι πτωχὸν ἔχων, ἀνδρείαν
ἐπεδείκνυσο πᾶσαν,
ὥστε μὴ μόνον σαυτὸν
στηρίζειν
δουλεύειν τῷ κτίσαντι,
πάτερ, ἀλλὰ πάντας
καὶ τοὺς σὲ καθορῶντας.

θεοτ. Ὢ μυστηρίου φοβεροῦ·
ὢ ἀκούσματος φρικτοῦ· πῶς ἡ παρθένος
ἀπορρήτῳ ἑνώσει
ὁμοιωθέντα ἡμῖν
τὸν Λόγον
τίκτει διαμένουσα,
ὥσπερ πρὸ τοῦ τόκου,
ἁγνὴ εἰς τοὺς αἰῶνας;

ᾠδὴ θ'. *Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον*

Τῶν ἀρετῶν τὰς ἰδέας,
ὡς πυξίῳ ἐγγράψας,
τῇ καθαρᾷ ψυχῇ σου πρακτικῶς
πᾶσιν ἁγίοις ἀπένειμας
καταλλήλως ἑκάστην

160 Χριστοῦ] Θεοῦ Do 166 τὸ Do τῷ ceteri cdd. 167 [illegible]σαν] χάριν Vm 173-180 id. θεοτ. p. 154; aliud praebet Pq: Νενεκρωμένους [illegible] πρὸς χοῦν ... ETh, 181

heirm. θ' EE 34-35, n. 46, Joannis 181 ἠδέας Ck 185 ἑκάσ[illegible] CkRf In margine extremo, prope troparium secundum odes θ', troparium praebet Do, quod ineditum videtur: Πάντων ἁγίων τὰ πλήθη / σὺν κυρίᾳ παρθένῳ / ἀγγέλων τάξεις, πρόδρομος φωνή, / τῶν προφητῶν, ἀποστόλων τε / τῶν μαρτύρων τ[illegible]φη / σὺν ἱεράρχαις σοὶ πρὸς ὑπαντήν, / Ἰωσήφ, ἀντιμέτροις / τιμαῖς σε θρόνοις [illegible]σιν.

163-164 Cfr. Dan. 3,57 166 Matth. 5,3 181-182 Is. 30,8

τῶν ἀρετῶν καὶ ὕμνους εὐαγῶς,
ἀξιόδεκτον φέρων
ἐξ ἔργων καὶ τὸν ἔπαινον.

Αἱ τῶν ἀγγέλων χορεῖαι,
ἀποστόλων ὁ κλῆρος,
ἡ θεοτόκος σὺν τῷ βαπτιστῇ,
τῶν προφητῶν ὁ κατάλογος,
ἱερέων αἱ τάξεις,
σὺν ἀσκηταῖς μαρτύρων στρατιαί,
Ἰωσήφ, ἀντιμέτροις
ἐπαίνοις σε νῦν στέφουσιν.

Τῶν λογικῶν σου θρεμμάτων
μνημονεύων μὴ παύσῃ,
31ᵛ || ἀλλ' ὥσπερ ζῶν τὴν ῥέουσαν ζωήν,
οὕτω νῦν ζῶν τὴν ἀκήρατον
προϊστάμενος ἔσο
σωματικῶν παθῶν καὶ ψυχικῶν
ἐξαιρούμενος, πάτερ,
ταῖς πρὸς Χριστὸν δεήσεσιν.

* Ὑπὲρ ἡμῶν δυσωποῦσα
τὸν υἱόν σου μὴ παύσῃ,
παρθένε, τὸν φιλάνθρωπον Θεόν·
σὲ γὰρ ἐλπίδα κεκτήμεθα
καὶ τῇ σῇ προστασίᾳ
λυτρούμεθα κινδύνων καὶ παθῶν
καὶ πταισμάτων καὶ νόσων
οἱ πίστει σε δοξάζοντες.

---

198 μνημονεύειν Do Vm Rf Pq 199 τὴν ῥέουσαν ζωήν] προΐστατο σοφέ Rf 200 οὕτω νῦν ζῶν] οὕτως ζωὴν Rf 201 προϊστάμενος] παρεχόμενος Rf 203 πάτερ om. Pq 205-212 θεοτ. ETh, 237 aliud θεοτ. ineditum invenimus in Pq: Ὡς τὸν Θεοῦ Θεὸν Λόγον, / θεομῆτορ Μαρία, / ἀσπόρως συλλαβοῦσα ἐν γαστρί, / πάντων κτισμάτων δεσπόζεις, ἁγνή, / τοῦ υἱοῦ σου τὴν δόξαν / ὡς χρέος σοι προσνέμοντας ἀεί, / ὃν ἱκέτευε σῶσαι / τοὺς πίστει ἀνυμνοῦντάς σε.

3 APRIL. *CANON X*

IN SANCTUM HILARIUM

Vallic. gr. Ε 54 = Ea, ff. 169ᵛ-172

Ὁ κανών· ⟨ποίημα Ἰωσήφ⟩.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

Ταῖς φωτοβόλοις ἀκτῖσι
τοῦ παντουργοῦ πνεύματος
καταυγαζόμενος ἀεί,
τοὺς τὴν φωσφόρον σου σήμερον
ἐπιτελοῦντας πανήγυριν
φώτισον ἐκδυσωπῶν τὸν λυτρωτήν,
πάτερ Ἱλάριε.

f. 170 || Ἐκ νεαρᾶς ἡλικίας
τὸν σὸν σταυρόν, ὅσιε,
ἀναλαβὼν πνευματικῶς,
τῷ σταυρωθέντι Θεῷ ἡμῶν
κατηκολούθησας, πάνσοφε,
ἅπαντα ἀπομειώσας τῆς σαρκὸς
πάθη, Ἱλάριε.

Τὴν στενοτάτην ὁδεύσας
ἀσκητικῶς, ὅσιε,
καὶ τεθλιμμένην ἐπὶ γῆς,

---

tit. Τῇ αὐτῇ ἡμέρᾳ κανὼν εἰς τὸν ὅσιον πατέρα ἡμῶν Ἱλάριον τοῦ μονάσαντος ἐν τοῖς ὁρίοις Καισαρείας τοῦ πολεμονιακοῦ πόντου τοῦ πρὸς τὸν εἶρην ποταμὸν cd. Nomen Ἰωσήφ ab acrostichide deducitur tropariorum odes θ' heirm. α' ΕΕ 106, n. 149, Andreae 13 ἀπεμειώσας

τῆς [illegible] θείας γνώσεως
καὶ οὐρανίου λαμπρότητος
χάριτι τοῦ παντοκράτορος Θεοῦ
[illegible]

'Απομειώσας τὰ πάθη
τὰ τῆς σαρκός, ὅσιε,
χάριν ἐδέξω ἐκ Θεοῦ
δεδεγμένοι ἀγαθόν,
τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν
θεῖοι θεράποντες,
ἴᾶσθε πᾶσαν νόσον,
διώκετε πνεύματα
ἅπασι τοῖς ἐν πίστει
μετὰ πόθου
ὑμῶν δεομένοις.

θεοτ. "Ολον
ἑαυτὸν ὁ πλαστουργὸς
κενώσας ὡς ηὐδόκησεν
ἐν τῇ νηδύϊ σου,
προῆλθε σαρκοφόρος,
πανάμωμε δέσποινα,
ὅπως ἀθανασίαν
τοῖς ἀνθρώποις
πλουσίαν πηγάσῃ.

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ὑψώσαντες
πρὸς Θεὸν τὰς καρδίας

---

24 Δημή] δημὴς Py δήμης Pq   σὺν Πρωτίωνι] Πρωτίων τε Re   27 ἐδείχθησαν Py Re Pq   28-36 troparium om. Do Mh Pq   28 Μέλος Ea   29 ἀγαθῶν Re   32 ἴᾶσθαι Ea   34 πίστει] θλίψει Ea Py Re   35 βοηθεῖτε Py om. Re   36 δεομένους Ea   38 πλαστουργὸς] παντουργὸς Mh Ea Re Pq   39 καινώσας Mh   εὐδόκησεν Do Py Pq   45 πλουσίως Do Vm Py Re Pq πηγάζει Re

46-70 oden β' om. Ea Mh Re Pq
heirm. β' EE 226, n. 324, Germani

38-39 Filip. 2,6-7

ὑμῶν, μακάριοι,
ἐταπεινώσατε πᾶσαν
κακίαν τοῦ πολεμήτορος.

Στήσαντες
καρτερίας ἐν πέτρᾳ
τοὺς πόδας, ἅγιοι,
ταῖς μεθοδείαις τοῦ πλάνου
ἀσάλευτοι διεμείνατε.

Ἀντλήσατε
οἱ πιστοὶ σωτηρίαν,
ῥῶσιν καὶ ἔλεος
ἐκ τῆς σοροῦ τῶν ἁγίων·
πηγάζει γὰρ θεῖα νάματα.

Νέκρωσιν
ζωηφόρον ὁσίως
ἀμφιασάμενοι,
πρὸς τὴν ζωὴν τὴν ἀγήρω
μετέβητε εὐφραινόμενοι.

f. 161v θεοτ. || Ὑμνοῦμέν σε,
παναγία παρθένε,
ὅτι ἐκύησας
τὸν ὑπὸ πάσης ἀπαύστως
τῆς φύσεως ἀνυμνούμενον.

ᾠδὴ γ'. *Στερέωσον ἡμῶν*

Μόνα τὰ ἐκεῖ,
μακάριοι, ποθοῦντες,
πᾶσαν ἀρετὴν
ἐκτήσασθε προθύμως,

---

64 τὴν ζωὴν] ζωὴν Ck Do Vm Lo   70 ἀνυμνούμενον] δοξαζόμενον Do Vm   74 προθύμως] ἐμφρόνως Py Re Pq
heirm. γ' EE 229, n. 328, Germani

51-53 Ps. 39,3

καταφρονήσαντες πλούτου καὶ δυναστείας
διὰ τὴν μέλλουσαν ἀνάπαυσιν.

Νόμοις τοῦ Χριστοῦ
πληρούμενοι πανσόφως
ὁ πανευκλεὴς
Δημὴς τε καὶ Πρωτίων,
τὰς ἀρετὰς ἠμφιάσαντο ὥσπερ κόσμον
καὶ οὐρανίου δόξης ἔτυχον.

Ὤφθητε δυὰς
ἀεὶ εὐλογημένη,
ἔνδοξε Δημή,
πανεύφημε Πρωτίων,
παντοδαπῆς ἐξαιρούμενοι πάντας νόσου,
τοὺς καταφεύγοντας τῇ σκέπῃ ὑμῶν.

θεοτ. Θρόνος τοῦ Θεοῦ,
πανάμωμε, ἐδείχθης
καὶ περιφανὲς
παλάτιον καὶ κλίνη,
ἐν ᾗ ὁ πάντων δεσπότης προανεκλίθη
ἐπανακλήσει τοῦ προπάτορος.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Πρωτίων ὁ ἔνδοξος
καὶ ὁ θεόφρων Δημὴς
πρὸς φῶς τὸ ἀνέσπερον
μετατεθέντες, ἡμᾶς
φωτίζουσι πάντοτε

76 ἀνάπαυσιν] ἀπόλαυσιν Mh Ea Py Pq 77 νόμους Do Vm Mh Ea Χριστοῦ] Θεοῦ Mh Ea 78 πληρούμενοι] πειθόμενοι Py Re Pq 79 οἱ πανευκλεεῖς Mh Py Re Pq 85 Δημή] μιδὴ (sic) Mh 87 παντοδαπῶν Py νόσων Py 93 προσανεκλίθη Mh Ea Py Pq

κάθ. in Vm Mh Ea Re canoni praeponitur, post oden ς' in Do Py invenitur

θείαις φωταγωγίαις
παραδόξων θαυμάτων,
λύοντες νοσημάτων
πολυώδυνον σκότος·
αὐτοὺς ἐν εὐφροσύνῃ ψυχῆς
πίστει δοξάσωμεν.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήρι...

Ἀκηλίδωτον ἔσοπτρον
πνεύματος ἁγίου, Δήμη, γεγένησαι·
f. 162 ‖ διὰ τοῦτο συνελθόντες σε
οἱ πιστοὶ συμφώνως
μακαρίζομεν.

Ὑπερήφανον δράκοντα,
μάκαρ, ταπεινούμενος ἐταπείνωσας
καὶ ὑψώθης θείῳ πνεύματι
πρὸς Χριστόν, Πρωτίων,
τὸν Θεὸν ἡμῶν.

Μεγαλύνοντες, ἔνδοξοι,
τὸν ἀγαθοδότην μόνον Θεὸν ἡμῶν,
παρ' αὐτοῦ ἐμεγαλύνθητε
ἐνεργείας ἀεὶ
ἐργαζόμενοι.

Ἀρυσώμεθα, ἄνθρωποι,
χάριν ἀδαπάνητον ἀναβλύζουσαν
ἐκ τῆς θήκης τῶν Χριστοῦ ἐραστῶν,
καταχρέως τούτους
μακαρίζοντες.

9 πολυώδυνα πάθη Pq Re 11 πιστοί, μακαρίσωμεν Pq δοξάζομεν Py μακαρίσωμεν Re

heirm. δ' EE 225, n. 322, Cosmae 96 Δήμη] δήμε (sic) Mh 101 μάκαρ] μάρτυς Mh 105-109 troparium om. Ea 105 μεγα[...]αντες Py Re Pq 106 ἀγαθοδότην] ἀγωνοθέτην Mh 107 πρὸς αὐτοῦ Pq 108 [...]ργεῖς ἰάσεις Py Pq ἐνεργεῖς ἰάσεις Mh Re ἀεὶ] θείας Do Vm 110-114 trop[...]ium om. Mh Pq

95 Sap. 7,26

θεοτ. Τὴν ἑτοίμην βοήθειαν,
τῶν καταπιπτόντων τὴν ἐπανόρθωσιν,
τὴν μητέρα τοῦ Θεοῦ ἡμῶν
ἀσιγήτοις ὕμνοις
μεγαλύνομεν.

ᾠδὴ ε΄. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Ὀρθρίσας πρὸς τὸν πάντων δεσπότην,
Δήμη θεόφρον,
πάσας τοῦ ἀλάστορος
τὰς προσβολὰς κατεπάτησας.

Ὑπέρτιμος ὡς λίθος, Πρωτίων,
ἐθησαυρίσθης
θησαυροῖς, μακάριε,
ἐπουρανίοις γηθόμενος.

Ῥωσθέντες θείῳ σθένει, πανεύφημοι
ἀθλοφόροι,
ἰάσεις πηγάζετε·
τοῖς πρὸς ὑμᾶς καταφεύγουσιν.

θεοτ. Γαστρὸς προεωσφόρου ἐξέλαμψας
τῆς πατρῴας,
ὁ μήτραν πανάμωμον
καθυποδὺς σωματούμενος.

f. 162ᵛ ‖ ᾠδὴ ϛ΄. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Ὁ μέγιστος Δημής, ὥσπερ ἀστὴρ
ἐκλάμψας, ἐφώτισε

---

119 μακαρίσωμεν Pq
heirm. ε΄ EE 226, n. 324, Germani 121 θεόφρον Δήμη Pq Δήμη] δίμε Mh 123 τὰς μηχανὰς κατεκοίμησας Py κατεπάτησας] κατεκοίμησας Mh Re Pq 129 πᾶσαν ῥῶσιν Py Re Pq 130 ἰάσεις] ἴασιν Mh Ea ἀπαύστως Py Re Pq 131 ἡμᾶς Mh 133 Θεοῦ λόγε Pq
heirm. ϛ΄ EE 224, n. 321, Joannis 136 ὁ om. Mh Δημής] πρωτίων Pq ὥσπερ] ὡς Ea Pq

---

120 Ps. 62,2; 77,34

πιστῶν τὰ συστήματα
καὶ δαιμόνων τὴν ἀχλὺν ἀπεδίωξεν.

Ὑμνοῦμεν τοὺς ἀγῶνάς σου, Δημή,
τιμῶμεν τὴν μνήμην σου,
τὴν κόνιν τοῦ σώματος
προσκυνοῦντες εὐσεβῶς, πανaοίδιμε.

Συνέσεως καὶ χάριτος πλησθείς,
Πρωτίων μακάριε,
Θεῷ εὐηρέστησας,
τῷ δοξάσαντι τὴν σὴν μνήμην, ἔνδοξε.

θεοτ. Παρθένε ἀπειρόγαμε ἁγνή,
ἀπαύστως ἱκέτευε
Χριστόν, ὃν ἐκύησας,
δωρηθῆναι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

f. 163 ‖ ᾠδὴ ζ΄. *Τῶν Χαλδαίων ἡ κάμινος*

Ῥωμαλέῳ φρονήματι
τὴν πλάνην ἐκμειοῦντες,
ἀπλανεῖς ἀνεδείχθησαν
οἱ ἅγιοι φωστῆρες
ἐν τῷ στερεώματι
τῆς ἐκκλησίας Χριστοῦ,
φωταγωγοῦντες ἡμᾶς.

Οἱ μαζοὶ οἱ προχέοντες
ἰαμάτων σταγόνας
καὶ νοσήματα παύοντες
ἀνίατα ἀνθρώπων,
Πρωτίων ὁ ἔνδοξος

---

140 σοῦ τοὺς ἀγῶνας Mh Δημή] σοφέ Pq 142 τὴν κόνιν] δήμη Pq 143 εὐσεβῶς] τὴν κόνιν Pq πανaοίδιμε] μεγαλύνομεν Ea μεγαλύνοντες Mh 144 χάριτος] γνώσεως Mh Ea Py Re Pq πλησθείς] πολλῆς Pq 145 πλησθέντες μακάριοι Pq 146 εὐηρεστήσατε Pq 147 τὴν σὴν μνήμην, ἔνδοξε] ὑμῶν μνήμην τὴν ἔνδοξον Pq σὴν om. Mh ἔνδοξε] ὅσιε Re 148 ἁγνή] σεμνή Py Re Pq
heirm. ζ΄ EE 228, n. 327, Andreae 154 ἀνεδείχθητε Mh

καὶ ὁ θεόφρων Δημὴς
μακαριζέσθωσαν.

Φωτισμὸν καὶ συγχώρησιν
ἀμέτρων ἐγκλημάτων
τοῖς ὑμῶν τὴν πανίερον
ἐπιτελοῦσι μνήμην
αἰτήσασθε, ἅγιοι,
ἀπαλλαγὴν τῶν παθῶν
καὶ νοσημάτων δεινῶν.

εοτ. Ῥαντισμῷ θείου αἵματος,
παρθένε, λυτρωθέντες
τοῦ ἀσπόρως ἐκ μήτρας σου
Θεοῦ ἡμῶν τεχθέντος,
βοῶμεν τὸ « χαῖρέ » σοι
σὺν τῷ σεπτῷ Γαβριήλ,
θεοχαρίτωτε.

ᾠδὴ η΄. *Τὸν ἄναρχον*
βασιλέα τῆς δόξης

Οἱ εὔδιοι
τῶν ἐν ζάλῃ λιμένες,
οἱ πρόβολοι
τῆς Χριστοῦ ἐκκλησίας
Πρωτίων ὁ κλεινός,
Δημὴς ὁ θεοφόρος,
τιμάσθωσαν ἀξίως.

Νεκρώσαντες
ἐγκρατείᾳ τὴν σάρκα,

164 Δημὴς] δήμης Lo Re Pq 168 πανίερον] πανέορτον Lo Py 170 αἰτήσασθαι Ck Ea Lo Re 171 τῶν] τε τῶν Mh τε Do Vm Lo Py Pq 175 τοῦ ἐκ μήτρας ἀσπόρου σου Pq τοῦ om. Re ἐν μήτρᾳ Ck 177-179 κατάρας καὶ θλίψεως / χαῖρε, βοῶμέν σοι / σὺν τῷ σεπτῷ Γαβριήλ Lo Py

heirm. η΄ EE 229, n. 328, Germani 181 τῶν] τὸν Ea 185 Δήμης Mh Lo Pq 188 ἐνκρατία (sic) Mh

177-178 Luc. 1,27-28

πηγάζετε
ζωηφόρων θαυμάτων
ἐνέργειαν, σοφοί,
f. 163v στα‖γόνας ἰαμάτων
προχέοντες ἀπαύστως.

Ὡς κλήματα
τῆς ἀμπέλου τῆς θείας
ὑπάρχοντες,
βότρυας ἐναρέτους
ἠνέγκατε, σοφοί,
καὶ πάθη ψυχοφθόρα
καθαίρετε ἀπαύστως.

θεοτ. Συνέλαβες
ὑπὲρ λόγον τὸν Λόγον·
ἐκύησας
καὶ παρθένος ὠράθης
ἀκήρατος, ἁγνή·
διό σε καταχρέως
ὑμνοῦμεν ἀσιγήτως.

ᾠδὴ θ΄. *Τὸν προδηλωθέντα*

Ἴδε, φωταυγὴς σήμερον
ἐξέλαμψε μνήμη
τῶν θεραπευτῶν τοῦ Χριστοῦ,
φωτίζουσα τὸν κόσμον·
συνελθόντες καταυγασθῶμεν ἀξίως
καὶ θείαις ὑμνῳδίαις μακαρίσωμεν.

192-193 καὶ πάθη ψυχοφθόρα / καθαίρετε ἀπαύστως Lo Py Re Pq ἀπαύστως] ἐν πίστει Pq 194 κλήμακα Ea 195 θείας] ζωῆς Ea 199-200 σταγόνας ἰαμάτων / προχέοντες ἀπαύστως Lo Py Re Pq σταγόνες Lo 204 ὠράθης] ἐδείχθης Pq 207 ἀσιγήτως] θεοτόκε Lo Py Re Pq εἰς αἰῶνας Mh Ea

heirm. θ΄ EE 229, n. 328, Germani 209 μνήμην Ck 212 ἀξίως] καὶ τούτους Lo Py Re Pq 213 καὶ om. Lo Py Re Pq

194-195 Joh. 15,1-5

Ὥσπερ ποταμός, ἅγιοι
Δημὴ καὶ Πρωτίων,
ἱερῶν ναμάτων ἀεὶ
πληρούμενοι ἀξίως,
καταρδεύετε τῶν πιστῶν τὰς καρδίας,
πάθη ψυχοφθόρα κατακλύζοντες.

Στέφος εὐπρεπές, ἅγιοι,
τῆς δικαιοσύνης
περικείμενοι, ὡραῖοι
παρίστασθε κυρίῳ,
ἐξαιτούμενοι φωτισμὸν καὶ εἰρήνην
τοῖς πανευσεβῶς ὑμᾶς γεραίρουσιν.

Ἡ περικαλλὴς καὶ σεπτὴ
δυὰς τῶν ἁγίων
βρύει καθαρὰ νάματα
ἰάσεων τοῖς πίστει
προσπελάζουσι τῇ σεπτῇ αὐτῶν θήκῃ
εἰς δόξαν τοῦ Θεοῦ ἡμῶν καὶ αἴνεσιν.

θεοτ. ‖ Φέγγος ἀστραπῆς ἔλαμψεν
ἐκ σοῦ, θεοτόκε,
καὶ τὴν κτίσιν πᾶσαν φωτὸς
ἐπλήρωσε τοῦ θείου
καὶ ἀπήλασεν ἀθεΐας τὴν νύκτα·
ὅθεν σε συμφώνως μεγαλύνομεν.

---

214 ποταμοὶ Mh Ea Py Re Pq ποταμὸν Lo ἅγιοι] μέγιστοι Pq 215 Πρω-
τίων καὶ Δήμης Pq 217 ἀξίως] πλουσίως Lo Py Re Pq ὁσίως Mh Ea
218 καταρδεύουσι Pq καταρδεύοντες Re καταρδεύεται Ea Lo 219 κατακλύζοντα
Mh Re 220 εὐπρεπείας Mh 222 ὡραῖον Do ραῖοι Mh 223 παρίστα-
σθαι Mh Ea Lo Py 225 πανευσεβῶς] πανευλαβῶς Lo Py Re Pq 227 τῶν
om. Mh 230 θήκῃ] μνήμῃ Lo 231 τοῦ om. Pq 232 ἐξέλαμψεν Re
235 ἐπλήρωσε] ἔπλησεν Lo τοῦ θείου] ἐνθέου Py Re Pq τοῦ om. Mh Ea
237 σε om Lo μεγαλύνομεν] μακαρίζομεν Pq

IN SS. FLORENTIUM ET DIOCLETIAN...

Crypt. Δ.α. VIII = Do, ff. 38-40v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Σοφὴν γεραίρω μαρτύρων ξυνωρίδα.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Σοφίας ἑλληνικῆς τὴν ἄθεον
ἐρεσχελίαν στερρῶς
καὶ πολυθέου πλάνης τὸ σκαιόν,
ἀθλοφόροι, μισήσαντες,
Χριστόν, τὴν ἐνυπόστατον
θείαν σοφίαν ἠγαπήσατε.

Οὐχ ὅπλα τυραννικὴν πρὸς ἄμυναν
ἤρασθε σάρκινα,
ἀλλ' ἰσχυρά, σοφοί, πνευματικὰ
τοῦ ἐχθροῦ πρὸς καθαίρεσιν
ὀχυρωμάτων, μάρτυρες,
δι' ὧν τὴν πλάνην ἐπορθήσατε.

f. 38v ‖ Φρονήσει τῶν ἀρετῶν τῇ κρείττονι
κατακοσμούμενοι,
τὴν ἐν Χριστῷ ζωὴν τὴν ἀληθῆ
τῆς ἀθέου προκρίναντες,
ἀθλητικοῦ δι' αἵματος
ταύτην ἐκτήσασθε, μακάριοι.

Tit. Τῇ ἑσπέρᾳ κανὼν τῶν ἁγίων ..... In acr. γεραίρω pate... litteris capitalibus, sed ἀνυμνῶ scriba in rubrica substituit

heirm. α' EE 94, n. 133, Joannis

Ἡττήθη Διοκλητιανοῦ τοῖς ῥήμασι
καὶ Φλορεντίου σαφῶς
ὁ τῶν δικαίων δύστηνος ἐχθρός·
τὸν σταυρὸν γὰρ ὡς ὅπλον Χριστοῦ
ἀναλαβόντες, ἔτρωσαν
αὐτὸν καὶ νίκης στέφος ἤραντο.

Νηστείαις προσκαρτεροῦντες, ἅγιοι,
εὐχαῖς τε καὶ ἐντολαῖς
τῷ ζωηρῷ λειψάνῳ τοῦ Χριστοῦ
ἀθλητοῦ Λούππου πρὸς φωτισμὸν
καὶ καθαρθέντι ὕδατι
τῷ μαρτυρίῳ ἐδοξάσθητε.

θεοτ. * Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι
ἐκ θείου πνεύματος
τὸν τοῦ Θεοῦ συνείληφας υἱόν
καὶ σαρκὶ ἀπεκύησας
τὸν ἐκ πατρὸς ἀμήτορα
καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Γενναίας ὑπομονῆς,
ἀθλητικῆς τε προκοπῆς ἔνδειγμα
Λοῦππον, σοφοί, τὸν μάρτυρα
ἔχοντες, καλῶς ἠγωνίσασθε.

Ἐν ἀρεταῖς ἑαυτοὺς
καὶ πρὸς τοῦ θείου βαπτισμοῦ ἄγοντες,
ἄμφω αὐτοῦ ἐτύχετε,
καὶ τοῦ μυστικοῦ καὶ δι' αἵματος.

Ῥητόρων τὸ σοβαρὸν
καὶ φληναφῶδες τῇ σκηνῇ ῥίψαντες,
τὸν τοῦ Θεοῦ, μάρτυρες,
Λόγον καὶ υἱὸν ἐκηρύξατε.

31-36 θεοτ. EV, 299.
heirm. γ' EE 94, n. 133, Joannis

θεοτ. * Σὺ μόνη τοῖς ἐπὶ γῆς
τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος,
μῆτερ Θεοῦ, γέγονας·
ὅθεν σοι τὸ « χαῖρε » προσάγομεν.

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησ*

Ἀγαπήσαντες τὰ ἆθλα καὶ τοὺς ἀγῶνας
καὶ τὴν πληθὺν θαυμάσαντες
τῶν θείων σημείων
f. 39 Λού||ππου τοῦ παμμάκαρος,
αὐτοῦ κατὰ μίμησιν,
μάρτυρες, πιστῶς ἐνηθλήσατε.

Ἰθυνόμενοι τῇ χάριτι τοῦ κυρίου,
τὸ Θεοδούλου τέμενος
καὶ τοῦ Ἀγαθόπου
τῶν μαρτύρων φθάσαντες,
ἐν τούτῳ φωτίζεσθε
δι' Ἀγαθονίκου τοῦ θύτου Χριστοῦ.

Ῥωμαλέως τῇ πίστει ὡς στηριχθέντες,
τὰς θεοπνεύστους πάσας τε
γραφὰς διελθόντες,
πλέον ἐπτερώθητε
καὶ τὴν δεισιδαίμονα
πλάνην, ἀθλοφόροι, καθείλετε.

θεοτ. * Ἀπειρογάμως ἐκύησας, ὦ παρθένε,
καὶ μετὰ τόκον ὤφθης
παρθενεύουσα πάλιν·
ὅθεν ἀσιγήτοις φωναῖς
τὸ « χαῖρέ » σοι, δέσποινα,
πίστει ἀδιστάκτῳ κραυγάζομεν.

49-52 θεοτ. EV, 300
heirm. δ' EE 94, n. 133, Joannis 56 λούππον 66 τοῦ 71-76 θεοτ.
EV, 300

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

<Ω ´ — — — — — ´
— — ´ — — ´ — —
— ´ — — — — ´ —
— — ´ — — ´ —
— — ´ — — ´ — —>

Μόνον σέ, τὴν ζωὴν
καὶ τὴν ὄντως ἀλήθειαν
ποθήσαντες οἱ γενναῖοι,
μέχρις αἵματος, Λόγε,
πρὸς τυράννους ἀντέστησαν.

Ἄισματα ἱερὰ
Διοκλητιανῷ τῷ κλεινῷ
φωνοῦντες καὶ Φλορεντίῳ
τοῖς ἁγίοις σου, σῶτερ,
αἰτοῦμέν σε τοῦ σῶσαι ἡμᾶς.

Ῥῆμα τὸ τοῦ Θεοῦ
ὡς τοῦ πνεύματος μάχαιραν
δεξάμενοι, ἀθλοφόροι,
τοὺς ἐχθροὺς τοῦ κυρίου
νομίμως κατεσφάξατε.

ντ. * Σὲ ὅπλον ἀρραγὲς
κατ' ἐχθρῶν προβαλλόμεθα·
σὲ ἄγκυραν καὶ ἐλπίδα
τῆς ἡμῶν σωτηρίας,
θεόνυμφε, κεκτήμεθα.

heirm. ε΄ EE 94, n. 133, Joannis 77-81 troparium ab Ω. . . incipiens desideratur 97-101 θεοτ. EV, 301.

82-83 Joh. 14,6

ᾠδὴ ϛ΄. *Θύσω σοι*

Τρέχοντες
Διοκλητιανὸς καὶ Φλορέντιος
τοῦ μαρτυρίου τὸν δρόμον
καὶ νομίμως τοῦτον ἀποπληροῦντες,
σὲ ὑμνοῦσι
μετὰ φωνῆς αἰνέσεως, κύριε.

f. 39ᵛ ‖ Ὕθλους μὲν
ῥητορικοὺς ὡς βόθρον ἐκκλίναντες,
τῷ δὲ ἁπλῷ τῶν ῥημάτων
καὶ εὐαγγελίῳ προσευχηκότες,
πανένδοξοι,
ἀθλητικῶς τυράννους ᾐσχύνατε.

Ῥίψαντες
τὴν γεηρὰν χλαμύδα καὶ ἄτιμον,
στολὴν φωτὸς ἀϊδίου
μυστικῶς τὴν θείαν ἐνδεδυμένοι
οἱ μάρτυρες,
τῷ Χριστῷ ὕμνους ᾄδουσι πάντοτε.

θεοτ. * Ὢ θαῦμα
τῶν ἁπάντων θαυμάτων καινότερον,
ὅτι παρθένος ἐν μήτρᾳ
τὸν τὰ σύμπαντα περιέποντα
ἀπειράνδρως
συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

κάθ. *Οἱ μάρτυρές σου, κύριε,*

ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Ὢ ξένον θαῦμα·
ὁδοιποροῦντες τὸν Χριστὸν οἱ ἀθληταὶ

heirm. ϛ΄ EE 94, n. 133, Joannis 120-125 θεοτ. EV, [illegible].
κάθ. primus versus troparii deest (v. EV, 292)
heirm. ζ΄ EE 94, n. 133, Joannis

ἔσχον
συνοδίτην, ὥρᾳ γὰρ ἐν μιᾷ
ὑπηγμένοι πρὸς τὴν ἄθλησιν
ὁδοῦ ὑπόπτεροι
ἐκ Θεσσαλονίκης ἦλθον εἰς Ἔδεσσαν.

Νηπίων βέλη
τῶν ἀσεβῶν ἡγήσασθε μάστιγας,
πόνους
τῶν δεσμῶν γενναίως καὶ ῥαβδισμοὺς
ὑποφέροντες, πανεύφημοι,
« εὐλογημένος εἶ »
ἐκβοῶντες « τῆς δόξης ὁ κύριος ».

Ξοάνων σέβας,
δεισιδαιμόνων τε προστάγματα
ἔργοις
παρρησίας, λόγοις ἀθλητικοῖς
ἐκφαυλίσαντες, ἠθέτησαν
Διοκλητιανὸς
καὶ Φλορέντιος, ὁμολογοῦντες Χριστόν.

θεοτ. * Τὸ τοῦ ὑψίστου
ἡγιασμένον θεῖον σκήνωμα,
χαῖρε·
διὰ σοῦ γὰρ δέδοται ἡ χαρά,
θεοτόκε, τοῖς κραυγάζουσιν,
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

‖ Ὕβρεων βολίσι κραταιῶς
f. 40 ἀνόμων πλήξαντες
καρδίας, μάρτυρες,

147-153 θεοτ. EV, 302 153 ὑπάρχεις πανάμωμε] πανάμωμε δέσποινα EV
heirm. η' EE 94, n. 133, Joannis

153-154 Luc. 1,42

Διοκλητιανέ, πίστεως,
καὶ Φλορέντιε, οἱ ῥήτορες,
καὶ τῶν εἰδώλων τελετὰς
ἐμυκτηρίσατε,
ἐκβοῶντες·
« πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Νόμου ἀντεχόμενοι Θεοῦ,
αὐτῷ θυσίας δεκτὰς
πιστῶς προσήξατε,
εἰδωλικὰς σπονδὰς τέλεον
μυσαττόμενοι, πανεύφημοι,
ἐν αἰκισμοῖς καρτερικῶς,
συμφώνως ψάλλοντες·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Ὦ Διοκλητιανοῦ πιστῆς
καὶ Φλορεντίου ψυχῆς
καὶ παρρησίας στερρᾶς·
πνευματικῇ στοργῇ ἄμφω γὰρ
ὡς ὁμαίμονες ὑπάρχοντες,
ἀθλητικῶς τοὺς δυσσεβεῖς
ἔρριψαν, ψάλλοντες·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

θεοτ. * Σὺ μόνη ἐν πάσαις γενεαῖς,
παρθένε ἄχραντε,
μήτηρ ἐδείχθης Θεοῦ·
σὺ τῆς θεότητος γέγονας
ἐνδιαίτημα, πανάμωμε,
μὴ φλογισθεῖσα τῷ πυρὶ
τοῦ ἀπροσίτου φωτός·

181-189 θεοτ. EV, 302.

187 Tim. I 6,16

ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ῥόδα εὐωδέστατα φύντες
ἐξ ἀκανθῶν τῆς ἀθεΐας
καὶ τυραννικαῖς ἐκκοπέντες
μαχαίραις, μάρτυρες,
ὡς ὀσφράδιον
Χριστῷ νῦν προσηνέχθητε,
θυσία ζῶσα καὶ εὐάρεστος.

Ἴσοι τὴν ἀνδρείαν καὶ γνώμην,
μάρτυρες θεῖοι στεφηφόροι,
ἴσοι καὶ ἀγῶνας καὶ ἄθλους
καὶ τὸ τοῦ δρόμου
τέλος εὑράμενοι,
τῶν ἀγαθῶν τὴν ἄφθονον
ὡσαύτως χάριν ἀπειλήφατε.

Δεῦτε ἀκουσώμεθα θαῦμα,
f. 40ᵛ πιστοί, μαρτύρων ‖ τῆς δυάδος·
ἄλλος γὰρ μακρόθεν ἐξ ἄλλου
τμηθεὶς τὴν κάραν,
ἄμφω συνῆλθον εἰς ἓν
θείᾳ προνοίᾳ τάχιστα,
ἀγγελικῶς διαπορθμεύσαντες.

Ἄμφω τῷ δεσπότῃ τῶν ὅλων
παρεστηκότες μετὰ δόξης
καὶ τὰ τῶν ἀγώνων τῆς νίκης
φοροῦντες στέφη,
μάρτυρες ἅγιοι,
ἀδιαλείπτως μνήσθητε
τῶν ὑμνῳδῶν ὑμῶν πρὸς κύριον.

heirm. θ' EE 94, n. 133, Joannis

θεοτ. * Δέχου τὰς λιτὰς τοῦ λαοῦ . . .
πρὸς τὸν υἱόν σου, θεοτόκε,
ἱλεωσαμένη εὐμενῶς
ἡμᾶς κινδύνων
καὶ περιστάσεων
ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε·
σὺ γὰρ προστάτις καὶ ἐλπὶς ἡμῶ . .

218-224 θεοτ. MR IV, 78 224 καὶ ἐλπὶς . . . ζωῆς MR

13 APRIL. *CANON* XVIII

IN SANCTUM ARTEMONEM

Synaxarium, 597-600 (*): Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, πρεσβύτερος τῆς κατὰ Λαοδίκειαν ἐκκλησίας, ... Ὅστις καὶ πρὸ τῆς μαρτυρίας αὐτοῦ εἰσελθὼν ἐν τῷ ναῷ τῶν εἰδώλων μετὰ Σισιννίου τοῦ ἐπισκόπου κατέστρεψε τὰ εἴδωλα..... Συλλαβὼν δὲ ὕστερον τὸν ἅγιον Ἀρτέμωνα θῦσαι τοῖς εἰδώλοις καταναγκάζει. Ὁ δὲ ἔφη· « Δεκαὲξ ἔτη ἐποίησα ἀναγινώσκων τὰς βίβλους τοῦ Θεοῦ καὶ τὴν ἁγίαν γραφήν, καὶ εἰκοσιοκτὼ ἔτη διάκονος ἀναγινώσκων τὸ εὐαγγέλιον καὶ εἰκοσιπέντε ἔτη πρεσβύτερος διδάσκων τὸν λαὸν τὴν εὐσέβειαν· καὶ νῦν εἰδώλοις οὐ θύω »....... καὶ εἰσελθὼν ἐν τῷ ναῷ τοῦ Ἀσκληπιοῦ αὐτό τε τὸ ξόανον συνέτριψεν καὶ τοὺς δράκοντας συνέτριψεν ὑπερμεγέθεις ὄντας,..... τὰς σάρκας κατατέμνεται ὁ ἅγιος Ἀρτέμων καὶ ἐν ἐσχάρᾳ πυρωθείσῃ ὀπτᾶται... Εἶτα λέβητος ἐκκαέντος, ἐν ᾧ πίσσα καὶ ῥητίνη ὑπῆρχε, ἀοράτως ὁ κόμης ἀρθεὶς ἐν αὐτῷ ἐβλήθη..... Ὁ δὲ ἅγιος μάρτυς, ἐν ᾧ ἵστατο, πηγῆς ὕδατος ἀναδοθείσης, ἐν αὐτῇ τοὺς πιστεύσαντας ἐβάπτισε· καὶ πλείστας θαυμάτων ἐπιδείξεις ποιησάμενος καὶ ἐν τόπῳ τινὶ Βαλβίνῃ καλουμένῳ γενόμενος τῆς Ἀσίας, τέλος τοῦ δρόμου τῆς μαρτυρίας εὕρατο πρὸς Κύριον ἐκδημήσας.

Crypt. Δ.α. XVII = Ck, ff. 164v-167v
Paris. gr. 1575 = Pv, ff. 46-46v
Paris. gr. 13 = Q, f. 299
Paris. Suppl. gr. 152 = Sc, ff. 27v-28v
Paris. gr. 1565 = Rf, ff. 53-55v
Paris. gr. 1574 = Pu, ff. 109v-110v
Paris. gr. 1573 = Pt, ff. 204v-207
Barber. gr. 450 = Bh, ff. 57v-59

Ὁ κανὼν ⟨κατ' ἀλφάβητον⟩· ⟨Γεωργίου⟩.
Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Ἀνοίγων τῆς γνώσεως θησαυροὺς
ὁ πάροχος ταύτης

(*) In die 12 aprilis.

Tit. Τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος πρεσβυτέρου Ck Τοῦ ἁγίου μάρτυρος Ἀρτέμωνος πρεσβύτου Pv Τοῦ ἁγίου Ἀρτέμωνος πρεσβυτέρου καὶ μάρτυρος Sc Εἰς τὸν ὄρθρον κανών, οὗ ἡ ἀκροστιχίς... Pt Ὁ κανὼν κατ' ἀλφάβητον ἐν δὲ τοῖς θεοτοκίοις Γεωργίου Q Rf Pu κατ' ἀλφάβητον in margine extremo alia manu

τὴν χάριν νέμει δαψιλῶς
τῶν λόγων τοῖς πίστει εὐφημοῦσι
τὸν ἀθλητὴν αὐτοῦ Ἀρτέμωνα.

Βέλει γλυκυτάτῳ τῆς τοῦ Χριστοῦ
ἀγάπης τρωθέντα σε
ἐκ νεότητός σου, σοφέ,
σώματος προσπάθεια, Ἀρτέμων,
τῆς τούτου σχέσεως οὐκ ἔτεμεν.

Γραφῆς διακύψας ἐπιμελῶς
τῆς θείας εἰς βάθος,
Ἀρτέμων, εἵλκυσας φωτισμὸν
γνώσεως τῆς κρείττονος καὶ πλούτου,
δι' οὗ πιστοὺς πάντας ἐπλούτισας.

θεοτ. Γηγενεῖς τῷ τόκῳ σου ἀπὸ γῆς
πρὸς ὕψος οὐράνιον
ἀνήχθημεν ἀληθῶς,
ἁγνὴ θεοτόκε, καὶ ἀγγέλων
χοροστασίαις ἠριθμήθημεν.

f. 165 || ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Δύναμιν τοῦ πνεύματος
περιβαλλόμενος, ἔτρεψας
παρεμβολὰς
τὰς κατὰ τοῦ κτίστου,
Ἀρτέμων γενναιότατε.

Ἔσβεσας τὴν κάμινον
τῆς ἀθεότητος, ἔνδοξε,
ἀθλητικῶν

3 τὴν om. Pu Pt νέμει] νέμει σοι Pt δαψι[illegible] Pu 6 βέλει] μέλει Sc 7 σε om. in Q Sc Rf Pu Pt 8 σου] σε R[illegible] om. Pv Sc 9 προσπάθειαν Pu Bh 11 διακύψας] διανύσας Q 13 ε[illegible]σας ἀρτέμων σαφῶς Pu φωτισμὸν] σοφῶς Pv Q Sc Rf Bh σαφῶς Pt 1[illegible] [illegible] πλούτου] τὸν πλοῦτον Pv Q Sc Rf Pu Pt Bh 15 ἐπλούτησας] ἐφώτισας [illegible] Pu 16-20 θεοτ. om. in Ck 18 ἀνήχθημεν] ἀνηνέχθημεν Rf Pt

heirm. γ' EE 224, n. 321, Joannis 21-2[illegible] hoc troparium oden γ'

αἱμάτων σου ὄμβροις,
Ἀρτέμων πανаοίδιμε.

Ζέων θείῳ ἔρωτι
καὶ πυρπολούμενος, ὅσιε,
τῇ τοῦ Χριστοῦ
ἐνθέῳ ἀγάπῃ,
ὑπὲρ ταύτης ἐνήθλησας.

θεοτ. Ἔλυσεν ὁ τόκος σου
ἁμαρτιῶν ἡμῶν, ἄχραντε,
τὰς ἐνοχὰς
καὶ δικαιοσύνῃ
πάντας πιστοὺς συνέδησεν.

f. 165v || ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ἡ θυσία σου, ἔνδοξε,
εἰς θυσιαστήριον ἐπουράνιον

---

29 ὄμβροις σου αἱμάτων Pu ὄμβροις] ὄμβρους Ck Bh 36-40 θεοτ. cfr. p. 186; om. in Ck 40 πιστοὺς πάντας Pu

Post oden γ' in Rf sequitur κάθ. ἦχος δ'.

heirm. *Ταχὺ προκατάλαβε*

Τοῦ Παύλου γενόμενος / ὀπαδός, ἔνδοξε, / πρὸς τούτου κεκλήρωσαι τῶν πλανωμένων, / φωστήρ, ἱεραρχίας τὸ ἔνδυμα· / ὅθεν καὶ τῶν εἰδώλων / ἀπελίξας τὴν πλάνην, / ἔλαμψας τοῖς ἀνθρώποις / φωτισμὸν σωτηρίας· / διό σου τὴν πανίερον / μνήμην γεραίρομεν.

θεοτ. post κάθ. Ἐκαίνισας, ἄχραντε, τῷ θείῳ τόκῳ σου . . . MR I, 292, et σταυροθεοτ.: Σταυρῷ σε ὑψούμενον ὡς ἐθεάσατο . . . MR II, 50 In Q Pl hoc κάθ. ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.*

Ὁμολογίαις ἱεραῖς διαπρέψας / μαρτυρικῶς τε τὴν ζωὴν διανύσας / πρὸς οὐρανοὺς ἀνέδραμες, Ἀρτέμων σοφέ, / στέφος ἀμαράντινον / ἐκ Θεοῦ ἐκομίσω· / ὅθεν τὴν ἁγίαν σου ἑορτάζομεν μνήμην, / ἀναβοῶντες· μνήσθητι ἡμῶν, / ἱερομάκαρ, Θεῷ παριστάμενος. ἐκομίσω] δεδεγμένος Q ἱερομάκαρ] ἱερομάρτυς Q; et θεοτ. in Pt Ἡ τὸν ἀχώρητον Θεὸν συλλαβοῦσα, / παρθένε μόνη Μαριάμ, καὶ τεκοῦσα, / τοῦτον, ἁγνή, δυσώπησον / τοῦ ῥύσασθαι ἡμᾶς / πάσης βλάβης ἅπαντας / τῶν ψυχῶν καὶ σωμάτων, / ὅπως καταχρέως σε εὐχαρίστως ὑμνῶμεν / καὶ εὐλογοῦμεν πάντοτε πιστῶς, / εὐλογημένη πανάμωμε δέσποινα et σταυροθεοτ. Τὸν ὑπὲρ ἔννοιαν ἐκ σοῦ σαρκωθέντα, / παρθένε δέσποινα ἁγνή, καὶ γεννηθέντα / τοῦτον ἀδίκως βλέψασα σταυρούμενον, / ἔστενες δακρύουσα καὶ πικρῶς ἐκβοῶσα· / « τέκνον μου παμφίλτατον / τί τὸ θέαμα τοῦτο, / ὅπερ ὁρῶσα πλήττομαι δεινῶς· / ὅμως ἑκὼν τοῦτο πάσχεις ὡς γέγραπται ».

heirm. δ' EE 225, n. 322, Cosmae

ἀνηνέχθη καὶ εὐπρόσδεκτον
τῷ δεσπότῃ θῦμα ὅλον γέγονας.

Θεωρίαν εἰς κρείττονα
ἐπαρθεὶς τὰς φρένας, Ἀρτέμων ὅσιε,
ἐμυήθης τὰ μυστήρια
τοῦ Χριστοῦ, ὑπὲρ ὧν καὶ ἀνήθλησας.

Ἱδρυνθεὶς ἐπὶ ἄσειστον
πέτραν τῆς τοῦ κτίστου ἀγάπης, ὅσιε,
προσβολαῖς καὶ τρικυμίαις ἐχθρῶν
οὐκ ἐσείσθης ὅλως τὴν διάνοιαν.

θεοτ. Ὡς ἀκένωτον, δέσποινα,
σὲ τῶν χαρισμάτων ταμεῖον ἔχοντες,
τὰς ἀφθόνους δωρεὰς παρὰ σοῦ
τῶν θαυμάτων πάντες ποριζόμεθα.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*
τοῖς προστάγμασί σου, κύριε,

f. 166 || Κύμασι, σοφέ,
ἀθεΐας ἐπεπόντισας
καὶ διέσωσας λαὸν εὐπειθῆ,
καθοδηγήσας
εἰς λιμένας τοὺς τῆς πίστεως.

Λύχνος διαυγὴς
ἐν νυκτὶ τῆς πλάνης, ὅσιε,
ἀναλάμψας ἀρετῶν τῷ φωτί,

---

43 εὐπρόσδεκτος Q Sc Pu Pt Bh 44 τῷ Θεῷ τῶν ὅλων ν[illegible] γεγένηται Pt θῦμα ὅλον γέγονας] τῶν ὅλων γεγένηται Pv Q Sc Bh πάντων μά[illegible] γέγονεν Pu πάντων ἐχρημάτισεν Rf 48 τοῦ σωτῆρος, πάτερ, οὗ καὶ ἤθλησα[illegible] Pu Pt ὑπὲρ οὗ Rf ὑπὲρ ὃν [illegible] 50 κτίστου] κτίστου σου Bh 52 ὅλος Sc 53-56 θεοτ. om. in Ck

heirm. ε' EE 224, n. 321, Joannis 58 ἐπεπόντισας scrips[illegible]r. Septuaginta ed. Rahlfs, ἐπεπόθησας Ck, ἐπετίμησας Pv Q Sc Rf Pu Pt Bh [illegible] ἀπειθῆ Rf

---

57-61 Ex. 15,4; 13 ed. Rahlfs

θεογνωσίας
εἰς τὸ φῶς ἀνθρώπους εἵλκυσας.

Μύστης τοῦ Χριστοῦ
γεγονώς, Ἀρτέμων ὅσιε,
παρανομοῦσιν οὐ προσῆξας σαυτόν,
ἀλλὰ κυρίῳ
δεκτὸν θῦμα δι' ἀθλήσεως.

θεοτ. Ῥύπου ἐμπαθῶν
μολυσμῶν ἀποκαθάρασα
τὴν ψυχήν μου, θεονύμφευτε,
ταῖς σαῖς πρεσβείαις
ἁγνόν με Θεῷ παράστησον.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Νομίμως ὑπὲρ Χριστοῦ
ἀθλῶν, Ἀρτέμων, διήλεγξας
παρανομούντων ἐχθρῶν
δυσσεβῆ θεσπίσματα·
διὸ ἐννομώτατος
μάρτυς ἀνεδείχθης
θείαις νίκαις στεφανούμενος.

Ξηράνας τοὺς θολεροὺς
χειμάρρους τῆς ἀθεότητος
τῶν λόγων σου τῷ πυρί,
διαυγεῖς ἀνέβλυσας
ποταμοὺς τῆς πίστεως
καὶ θεογνωσίας
τοῖς πιστοῖς, Ἀρτέμων ὅσιε.

---

66 εἵλκυσας] ἴθυνας Pv Q Sc Rf Pu Pt Bh 67 τοῦ] τῶν Pv Q Sc Rf Pu Pt Bh 69 ἀπορρήτων μυστηρίων σαυτὸν Pv Q Sc Rf Pu Pt Bh παρανομούντων Ck 70 προσῆξας τούτῳ Pv Q Sc Rf Pu Pt Bh 71 ἀθλήσεως] ἀσκήσεως Rf 72-76 θεοτ. om. Ck 72 ῥύπου] ῥύπον Q Bh ἐμπαθῶν] με παθῶν Rf 76 ἁγνόν με] ἁγνὴν τῷ Rf ἁγνὴν Q με om. Q

heirm. ς' EE 220, n. 315, Joannis 78 Ἀρτέμων] ἀρτέμως Ck διήλεγξας] διήνοιξας Q 80 δυσσεβῶν Ck

Ὁπλίσας τὸν λογισμὸν
κατὰ τῆς μάχης τοῦ ὄφεως,
γενναιότητι συμπλοκῆς,
Ἀρτέμων, κατέβαλες
καὶ νεκρὸν ἀπέδειξας
καὶ παρὰ κυρίου
τὸ τῆς νίκης στέφος εἴληφας.

θεοτ. Γεγόναμεν οἱ θνητοὶ
ἀθάνατοι θείᾳ χάριτι
τῷ τόκῳ σου καὶ φθορᾶς
τῆς πρώην ἐρρύσθημεν,
θεοτόκε ἄχραντε,
καὶ τῆς ἀφθαρσίας
τῇ στολῇ κατεκοσμήθημεν.

f. 166ᵛ || Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Τῶν βασάνων, ἅγιε,
τὴν τρικυμίαν
διελθών, κατήντησας
πρὸς τοὺς λιμένας τῆς ζωῆς
ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον
καθικετεύων,
μαρτύρων ἀγλάϊσμα.

---

92 μάχης] πλάνης Pu 93 γενναίᾳ τῇ συμπλοκῇ Pv Q Sc Rf Pt Bh γενναίᾳ τε συμπλοκῇ Pu 98-104 θεοτ. om. in Ck 100 φθορᾶς] φθονὰς Mh 101 τῆς] τοῦ Mh

κάθ. post oden γ' praebet Pu, idemque praeponitur canoni in Bh, om. Q Rf Pt

heirm. καθ. HR, 169 Post hoc κάθ. in Pu legimus θεοτ., incipiens: Προστασία ἄμαχε τῶν θλιβομένων . . . MR III, 430 et σταυροθεοτ. Ἐπὶ ξύλου βλέψασα / ἡ Θεοτόκος / τὸν σωτῆρα κύριον, / ὀδυρομένη μητρικῶς, « τί τὸ ὁρώμενον; / — ἔλεγε — / πῶς ὡς κακοῦργος / ἐπὶ ξύλου κρέμασαι; »

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Πυρπολούμενος θείᾳ
τοῦ δεσπότου ἀγάπῃ,
μάρτυς ἀοίδιμε,
ἀγώνων εἰς τὸ σκάμμα
συντόνῳ προαιρέσει
εἰσέδραμες, κραυγάζων·
[ἀθλοφόρε μακάριε,]
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ».

Ῥώμην τοῦ παρακλήτου
ἐνδυσάμενος, μάρτυς,
ὡς οἱ ἀπόστολοι,
τῆς πλάνης παρατάξεις,
γενναῖε, καρτερίᾳ
ἐτροπώσω καὶ ἔψαλλες·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Σωφροσύνῃ τὸν βίον
προκοσμήσας καὶ ἔργοις
τῆς καθαρότητος,
ἁγνῶς Χριστῷ, Ἀρτέμων,
ἱερούργησας, ψάλλων
καὶ ᾄδων χαριστήρια·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

heirm. ζ' EE 224, n. 321, Joannis 109 συντόνως Ck 110 εἰσδραμὼν ἀνεκραύγαζες Pu κραυγάζων] καὶ ἔκραζες Pv Q Sc Rf Pt Bh 111 versus e metro exulat, idemque om. in Pv Q Sc Rf Pu Pt Bh 114 ῥώμη Ck Bh παρακλήτου] παντεπόπτου Rf 118 γενναία Pv Q Sc Rf Pu Pt Bh 123 προκοσμήσας] προσκομίσας Pv Q Pt Bh προκομίσας Pu ἐκκαθάρας Rf 125 ἁγνὸς Ck Χριστῷ] Θεῷ Q Rf

111-112 Tob. 8,5 119-120, 127-128 Tob. 8,5

θεοτ. Ἵνα πάντας ἑλκύσῃ
πρὸς οὐράνιον δόξαν
ὁ ποιητὴς τοῦ παντός,
ἐκ σοῦ, θεογεννῆτορ,
εὐδόκησε τεχθῆναι
καὶ ἡμῖν ὡς φιλάνθρωπος
καὶ εὐεργέτης Θεὸς
σαρκὶ ἀναστραφῆναι.

f. 167 ‖ ᾠδὴ η'. *Τὸν βασιλέα τῶν οὐρανῶν*

Τὸν βασιλέα τῶν οὐρανῶν
ὡς προκρίνας
κατ' ἀξίαν πάντων τῶν γηΐνων,
τούτῳ εἰς αἰῶνας,
Ἀρτέμων, συναγάλλῃ.

Ὑπεραρθέντα σε τῇ ψυχῇ
πρὸς τὸν κτίστην,
προσβολαὶ τυράννων, ἀθλοφόρε,
οὐδόλως τῆς τούτου
καθείλκυσαν ἀγάπης.

Φωτὸς τοῦ θείου ταῖς ἀστραπαῖς,
ἀθλοφόρε,
λαμπρυνθείς, εἰσέδυς ἐν ἀδύτοις
Θεοῦ μυστηρίων
ὡς μύστης ἀπορρήτων.

θεοτ. Ὁ τὴν ἀνθρώπων φύσιν λαβών,
θεοτόκε,
ἐκ σοῦ ὑπὲρ ἔννοιαν καὶ λόγον
υἱοὺς τοὺς ἀνθρώπους
εἰργάσατο οἰκείους.

130-137 θεοτ. om. in Ck 134 ηὐδόκησε Q 137 ἀνατραφῆναι Sc Bh heirm. η' EE 224, n. 321, Joannis 140 τοῦτον Ck 145 προσβολαῖς Ck 146 τοῦτον Ck 147 καθείλκυσαν Pv Sc 150 ἐν] φῶς Ck 151 Θεοῦ] θῦμα Rf 152 εἰς πάντας τοὺς αἰῶνας Q 153-157 θεοτ. om. Ck 156 τοὺς ἀνθρώπους] τῶν ἀνθρώπων Rf

167v || ᾠδὴ ϑ'. *Κυρίως θεοτόκον σὲ ὁμολογοῦμεν*

Χειμῶνα ἀσεβείας,
μάρτυς, διαδράσας,
εἰς εὐσεβείας τὸ ἔαρ κατήντησας
καὶ τοῦ ἡλίου τῆς δόξης
φωτὸς ἠξίωσαι.

Ψυχῆς τοῖς νοουμένοις
ὄμμασι προβλέπων
ἐκ δεξιῶν σου ἑστῶτα τὸν κύριον,
οὐκ ἐσαλεύθης βασάνων,
᾿Αρτέμων, κύμασιν.

Ὢ θείας καὶ ἀφάτου
δόξης, ἀθλοφόρε,
ἧς ἠξιώθης συνάθλοις καὶ μάρτυσι Χριστοῦ·
ὑπὲρ ἡμῶν ἐκδυσώπει
τοῦτον ὡς εὔσπλαγχνον.

τ. Ὑψόθεν, θεοτόκε,
τῆς σῆς εὐσπλαγχνίας
τὴν ἡμετέραν πτωχείαν ἐπίσκεψαι
καὶ ἐκ φθορᾶς καὶ κινδύνων
ἡμᾶς ἐκλύτρωσαι.

---

heirm. ϑ' EE 224, n. 321, Joannis

158 ἀσεβείας] ἀθέτας Rf 163 τῆς νοουμένης Q Sc 164 προσβλέπων Pv Sc Bh 165 ἐκ] καὶ Ck Bh 168 ὢ] ὡς Pv Q Rf Pt φῶς Sc 170 ἀξιωθεὶς σὺν ἀθληταῖς καὶ μύσταις Χριστοῦ Pv Q Sc Rf Pu Pt Bh μάρτυς Ck 172 εὔσπλαγχνος Sc 173-177 θεοτ. om. in Ck

16 APRIL.

CANON XIX

IN SS. IRENEN, AGAPEN ET CHIONIAM

Synaxarium, 605-606: Αὗται ἐκ πόλεως ὑπῆρχον Θεσσαλονίκης, κατὰ τοὺς χρόνους Μαξιμιανοῦ ἐν ὄρει τινι κρυπτόμεναι καὶ τὸν Θεὸν ταῖς ἀρεταῖς θεραπεύουσαι. Τὰ γὰρ οἰκεῖα κατέλιπον διὰ τὸν ἐπικείμενον κατὰ τῶν χριστιανῶν διωγμόν. Φωραθεῖσαι οὖν καὶ συλληφθεῖσαι, παρέστησαν τῷ ἄρχοντι Δουλκιτίῳ, ὅστις πολλὰ καταναγκάσας αὐτὰς θῦσαι τοῖς εἰδώλοις οὐκ ἔπεισεν. Ὅθεν ἡ μὲν ἁγία ᾿Αγάπη καὶ Χιονία πυρὶ τελειοῦνται. Τὴν δὲ ἁγίαν Εἰρήνην εὑρὼν ἔχουσαν ἱερὰ βιβλία, ἐν οἷς ἐμελέτων αἱ ἅγιαι, ἐκεῖνα μὲν κατέκαυσεν, αὐτὴν δὲ ἐν πορνείῳ ἐκέλευσεν ἀπενεχθῆναι· ἐν ᾧ Θεοῦ χάριτι ἄσπιλος διετηρήθη. Καὶ μὴ πειθομένην δὲ ἀρνήσασθαι τὸν Χριστόν, καὶ αὐτὴν πυρὶ παρέδωκεν· καὶ οὕτως τὸν βίον μετήλλαξαν.

Barber. gr. 450 — Bh, ff. 62v-64
Patm. 901 — Hg, ff. 72-75v

Ὁ κανὼν ⟨κατ' ἀλφάβητον, ἐν δὲ τοῖς θεοτοκίοις· Γεωργίου⟩.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

f. 63 || Ἁγνείᾳ κοσμήσασα τὴν ψυχήν,
μάρτυς, τὴν λαμπάδα
ἀνῆψας ταύτην τῷ πυρὶ
τῷ τῆς ἀγαπήσεως τοῦ κτίστου
καὶ τῆς αὐτοῦ παστάδος ἔτυχες.

Βίον τὸν ἰσάγγελον ἐν σαρκὶ
μετὰ τῶν συνάθλων
καὶ ὁμοτρόπων σου, σεμνὴ
Εἰρήνη, ἀσκοῦσα, ἀσωμάτων
θείας χορείας κατηξίωσαι.

« Κατ' ἀλφάβητον » deducitur e tropariorum litteris. Γεωργίου nomen, in titulo praetermissum, e theotokiis deduximus. Sed in margine folii nomen Θεοφάνους legitur in Bh

heirm. α' EE 220, n. 315, Joannis

Γενναίῳ φρονήματι τοῦ ἐχθροῦ
κράτος καθελοῦσαι
ἐν ἀσθενείᾳ τῆς σαρκός,
μάρτυρες ἀήττητοι, στεφάνων
ἀθλητικῶν κατηξιώθητε.

στ. Γαλήνην σε ἔχοντες οἱ πιστοὶ
ἐν ταῖς τρικυμίαις,
θεοτόκε, τῶν πειρασμῶν
καὶ τῶν νοσημάτων, ἀκυμάντως
σαῖς ἱκεσίαις κυβερνώμεθα.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Δῶρα ὡς εὐπρόσδεκτα
τὰ τῆς ἀθλήσεως αἵματα
τῷ καθαρῷ,
παρθένοι, νυμφίῳ
Χριστῷ προσενηνόχατε.

Ἔρριπται ὁ τύραννος
καὶ συμπεπάτηται ἅπασα
τούτου ἰσχὺς
τῶν καλλιπαρθένων
ἁγνείᾳ καὶ στερρότητι.

Ζάλην κατευνάσασα
τὴν τῶν παθῶν νοῒ σώφρονι,
πρὸς γαληνόν,
Εἰρήνη, λιμένα
ἀθλήσεως κατήντησας.

Ἔλυσεν ὁ τόκος σου
τὰς ἐνοχὰς ἡμῶν, ἄχραντε,
καὶ ἑαυτῷ
δι' υἱοθεσίας
πάντας πιστοὺς συνέδησεν.

heirm. γ' EE 224, n. 321, Joannis 22 τὰ] τὰς Hg 30 ἁγνείᾳ] ἀνδρείᾳ Hg 32 νοῒ] μοι Bh 36-40 θεοτ. cfr. p. 178

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστή[ριον]

Ἡ ἀήττητος δύναμις
τοῦ ἁγίου πνεύματος ἐκραταίωσεν
ἐν ἀγῶσι καὶ παλαίσμασι
γυναικείαν φύσιν
καὶ ἐδόξασεν.

Θησαυρίσασα, ἔνδοξε,
πλοῦτον ἐν ψυχῇ σου τῆς θείας γνώσεως,
τοῦτον ἔνειμας, Εἰρήνη σεμνή,
ἐν ἀφθόνῳ δόσει
ταῖς συνάθλοις σου.

Ἰσχυρὸς καταβέβληται
τῶν καλλιπαρθένων ἐνστάσει τύραννος
καὶ ὑψώθη ἡ ἐπίγνωσις
τοῦ Θεοῦ τῶν ὅλων
ἐν τοῖς πέρασιν.

θεοτ. Ὡς πηγὴ ἀνεξάντλητος
οὖσα τῶν θαυμάτων, θεοχαρίτωτε,
ποταμοὺς τῶν ἰαμάτων ἡμῖν
ἀναβλύζεις ἀεὶ
σὲ γεραίρουσιν.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

Κάμινον παθῶν
καὶ πολέμων κατασβέσασα
ἐν τοῖς ὄμβροις τῶν δακρύων σου,
Εἰρήνη, φλόγα
πλάνης ἔσβεσας τοῖς αἵμασιν.

heirm. δ' EE 225, n. 322, Cosmae
heirm. ε' EE 224, n. 321, Joannis
44 γυναικείᾳ φύ[σει] Hg
65 τοῖς αἵμασιν] τὴν κάμινον Hg

Λύχνον διαυγῆ
τὸν Χριστοῦ πόθον κατέχουσα
63ᵛ σὺν Ἀγάπῃ, ‖ Χιονία, πρὸς φῶς
τοῦ μαρτυρίου
εὐκλεῶς καθωδηγήθης.

Μύρα νοητὰ
τῆς ἁγνείας διαπνεύσασα
Θεοδοσία δι' ἀθλήσεως,
δεκτὴ κυρίῳ
εὐωδία προσενήνεκται.

τ. Ῥώμην κατ' ἐχθρῶν
καὶ κραταίωμά σε ἔχοντες,
ὑπεραγία θεονύμφευτε,
βραβεῖα νίκης
καὶ στεφάνους κομιζόμεθα.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Ναμάτων τῶν νοητῶν
ἐμφορουμένη τοῦ πνεύματος,
τῆς γνώσεως ποταμούς,
Εἰρήνη, ἐπήγασας,
ἐξ ὧν ταῖς συνάθλοις σου
πόμα τῆς τοῦ κτίστου
ἐπιγνώσεως ἐκέρασας.

Ξίφεσι τὴν τοῦ Χριστοῦ
ἀντιστήσασαι ἀγάπησιν,
ἀπτόητοι ταῖς ψυχαῖς
ἐν ἄθλοις ἠνδρίσασθε·
διό, καλλιπάρθενοι,
στεφάνοις τῆς νίκης
παρ' αὐτοῦ κατεκοσμήθητε.

heirm. ς' ΕΕ 220, n. 315, Joannis
70 καθωδηγήθησαν Hg 77 κατέχουσα Hg 85 τοῖς Bh

Ὁ λόγος ὁ τοῦ Θεοῦ
μαχαίρας πάσης τομώτερος
ὑπάρχων καὶ ἐνεργῶν
ἐν ὑμῖν, ἀοίδιμοι,
πρὸς πᾶσαν ἐπίνοιαν
ἀκαταμαχήτους
τῶν ἐχθρῶν ὑμᾶς παρέστησεν.

θεοτ. Γνωρίσαντες διὰ σοῦ
τὸν πάντων κτίστην καὶ κύριον,
θεογεννῆτορ ἁγνή,
τῆς πλάνης ἐρρύσθημεν·
διὰ τοῦτο πόθῳ σε
ἀνυμνολογοῦμεν
καὶ δοξάζομεν τὸν τόκον σου.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Πρὸς ἀκήρατον δόξαν
ἀφορῶσα, Εἰρήνη,
καὶ πλοῦτον ἄσυλον,
δόξης τῆς ἐπικήρου
καὶ σώματος καὶ πλούτου
κατεφρόνησας, κράζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ῥώμῃ τῆς παρθενίας
καὶ ψυχῆς προθυμίᾳ
καὶ γενναιότητι
ἐχθρῶν ταῖς μεθοδείαις
ἀντέστητε, παρθένοι,

101 ὑμᾶς] ἡμῶν Hg
heirm. ζ' ΕΕ 224, n. 321, Joannis 113 πλοῦτον cdd. 116 versus om. in cdd.

115-116 Tob. 8,5

καὶ πῦρ οὐκ ἐπτοήθητε,
δοξολογοῦσαι Χριστόν,
τὸν μόνον εὐεργέτην.

Σωφροσύνῃ τὴν ὥραν
τὴν τοῦ σώματος, μάρτυς,
ὑπερφαιδρύνασα,
τυράννοις καὶ διώκταις
αἰδέσιμος ἐδείχθης,
Χιονία, κραυγάζουσα·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ἱλασμόν σε πταισμάτων
καὶ ψυχῶν ἰατρεῖον
καὶ τῶν σωμάτων, ἁγνή,
καὶ λύτρωσιν κινδύνων
κεκτημένοι, ἀπαύστως
βοῶμέν σοι καὶ λέγομεν·
εὐλογημένη βροτῶν
ὑπάρχεις εὐφροσύνη.

ᾠδὴ η'. *Τὸν βασιλέα τῶν οὐρανῶν*

Τὴν τῆς ἁγνείας περιβολήν,
ἀθλοφόρε,
αἵμασι κοσμοῦσα μαρτυρίου,
ἔνδον οὐρανίων
εἰσέδραμες θαλάμων.

Ὑπερισχύουσαι τῇ Χριστοῦ
συνεργίᾳ
πάσης μηχανῆς τῶν ἐναντίων,
νίκης, ἀθλοφόροι,
ἐδέξασθε βραβεῖα.

123 δοξολογοῦντες Bh 132 versus om. in edd.
heirm. η' EE 224, n. 321, Joannis 143 κοσμοῦσα] κόσμου Hg

Φωτὸς τοῦ θείου ταῖς ἀστραπαῖς
ἐλλαμφθεῖσαι,
f. 64 σκότος || ἀθείας, ἀθλοφόροι,
καὶ εἰδώλων γνόφον
ἐφύγετε ἐνθέως.

θεοτ. Ὁ συναΐδιος τῷ πατρὶ
Θεὸς Λόγος
ἐκ σοῦ σαρκωθείς, θεογεννῆτορ,
χάριτι οἰκείᾳ
ἐθέωσεν ἀνθρώπους.

ᾠδὴ θ'. *Κυρίως θεοτόκον*

Χριστὸν τὸν εἰρηνάρχην,
Εἰρήνη, ποθοῦσα,
τῇ φερωνύμῳ σου κλήσει εἰρήνευσας
δι' ἐγκρατείας καὶ ἄθλων
παθῶν τὸν πόλεμον.

Ψυχὰς προκαθαρθεῖσαι
ἀρεταῖς καὶ πόνοις,
Ἀγάπη σὺν Χιονίᾳ, ἐτύχετε
παστάδος τῆς ἀκηράτου
δι' ἀθλήσεως.

Ὡς κρείττονος τυχοῦσαι,
μάρτυρες, παστάδος
καὶ παρρησίας καὶ δόξης καὶ χάριτος,
ὑπὲρ ἡμῶν τὸν δεσπότην
ἐξιλεώσασθε.

θεοτ. Ὑμνεῖν με συνειδότι
ἁγνῷ, θεοτόκε,
τὸν σὸν υἱὸν καὶ δεσπότην, ἀξίωσον
ἀκαταπαύστως ἐν πόθῳ
καὶ μεγαλύνειν σε.

heirm. θ' EE 224, n. 321, Joannis 172 παστάδος] τυχοῦσαι παστάδος Hg

17 APRIL. *CANON* XX

IN SANCTUM AGAPETUM

Synaxarium, 611-612 (*): Οὗτος ὁ μακάριος ὑπῆρχε κατὰ τοὺς χρόνους Ἰουστινιανοῦ τοῦ βασιλέως, δι' ἀσκήσεως καὶ ἀρετῆς τραφεὶς καὶ ἀναχθεὶς πρὸς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα. Ἀπάρας δὲ πρὸς τὴν Κωνσταντινούπολιν, ὡς ἐντευξόμενος τῷ βασιλεῖ Ἰουστινιανῷ, εὐθὺς κατὰ τὴν πορείαν τῆς οἰκείας ἀρετῆς καὶ πρὸς τὸν Θεὸν παρρησίας ἀπόδειξιν ἔδωκε ..... Οὗτος ἀξίως τῆς ἑαυτοῦ ἀρετῆς παρὰ τῶν ἐν τέλει καὶ τῆς συγκλήτου καὶ αὐτοῦ τοῦ βασιλέως προσδεχθεὶς καὶ πάσης τῆς πόλεως, καὶ Ἄνθιμον τὸν ἐπίσκοπον Τραπεζοῦντος κακῶς ἐπιβάντα τῆς ἐν Κωνσταντινουπόλει καθέδρας ἐξοστρακίσας ὡς τὰ τοῦ Εὐτυχοῦς καὶ Σευήρου φρονοῦντα καὶ τῷ ἀναθέματι παραδούς, καὶ τὸν εὐλαβέστατον πρεσβύτερον Μηνᾶν..... χειροτονήσας καὶ τῷ θρόνῳ ἐγκαθιδρύσας, μετὰ χρόνον τινὰ πρὸς Κύριον ἐξεδήμησεν.

Crypt. Δ.α. XVII = Ck, ff. 175v-180v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ἀγαπ⟨ή⟩σει Θεοῦ, Ἀγαπητέ, πίστει οἰκειώθης.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ

Ἀγαπητὸν
τέμενος τῇ εὐωχίᾳ Χριστοῦ,
Ἀγαπητὲ πανσέβαστε,
τῇ μυστικῇ γάρ σου
ἱερᾷ εὐωχίᾳ
αὐτῇ ἐπὶ κρατῆρος
ἐπαναπαύσατο.

(*) In die 18 aprilis

Codex alternatis odis tres canones hoc ordine praebet: primum hunc quem referimus; secundum: Στέφανον ἀφθαρσίας ... MR IV, 324-328; tertium Πᾶσαν κακίαν νικήσας ... postea canon sequitur quem invenies in 200-209 tit. Ὁ κανὼν φέρων ἀκροστιχίδα: Αγαπει Θεου Αγαπιτε πιστε οικειωθης cd.

heirm. α' ΕΕ 37-38, n. 51, Cosmae

Γῆθεν ἀεὶ
πνεύματι ἐμυσταγώγησας
τὴν ἱερὰν ἐμφάνειαν
τοῦ ἐνδημήσαντος
εἰς ἡμῶν σωτηρίαν,
Ἀγαπητὲ θεόφρον,
ἐξ ἀλοχεύτου μητρός.

Αὐθεντικὴν
ἔλλαμψιν ἐνστερνισάμενος
δι' ἀπαθείας, ἔνδοξε,
καθιερούργησας
τὴν φρικώδη λατρείαν
τῆς νέας διαθήκης,
Ἀγαπητέ, νοερῶς.

Πυροειδοῦς
πνεύματος ὡς οἱ ἀπόστολοι
ἐμφορηθείς, ἀοίδιμε,
f. 176 ‖ ἐπαιδαγώγησας
περιούσιον ὄχλον,
κηρύττων τῆς τριάδος,
Ἀγαπητέ, τὸ τρισσόν.

θεοτ. <Η ... '
' ... '
' '
'
' '
' '
' '>

f. 176v ‖ ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Στηρίζων τοῦ Χριστοῦ
τὸ θεῖον ποίμνιον

18 καὶ ἱερούργησας 29-35 θεοτ. quod incipiat Η , desideratur

heirm. γ' ΕΕ 39, n. 53, Cosmae

22-26 Act. 2,1-4

ἡμέρας
καὶ νυκτός, ὅσιε πάτερ,
ἐλειτούργησας ἀμέμπτως Θεῷ·
ἱεράρχης καὶ θύτης ἀναδέδειξαι.

Ἐκ κόσμου ἁρπαγεὶς
εἰς ὑπερκόσμιον
χορείαν,
ἀοίδιμε, τῶν ἀγγέλων,
τὸν σωτῆρα ἐκδυσώπησον
ὑπὲρ πάντων τῶν πίστει εὐφημούντων σε.

Ἱερουργὸς φρικτὸς
ἐδείχθης, ὅσιε,
καὶ λάτρης
τριάδος ὑπερουσίου,
ἣν εὐμένισον ἐκ πάσης φθορᾶς
λυτρωθῆναι, θεόφρον, τοὺς ὑμνοῦντάς σε.

Θεόθεν τὴν φρικτὴν
ἐμυσταγώγησας
λατρείαν,
Ἀγαπητὲ θεορρῆμον,
καὶ ἡγίασας ἀπείρους λαοὺς
ἐν σοὶ οἰκειωθέντας διὰ πίστεως.

τ. Ἐτέχθης ἐκ μητρὸς
ὁ ὑπερούσιος,
μὴ φθείρας
τὰ σήμαντρα τῆς ἁγνείας,
ἀλλὰ σῶαν καταλείψας αὐτὴν
καὶ μετὰ τῆς προόδου τῆς σαρκώσεως.

77 || Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Ἐνθάψας πονηρὰς
τῶν δαιμόνων ἐνέδρας
....

42 ἁρπαγῆς 48 φρικτῶς
κάθ. MR IV, 331.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε, τὴν ἀκοὴν*

Ὁλικῶς προσοικείωσαι
τῇ ἀψευδεῖ
τριάδι, θεοφόρε,
καὶ πιστῶν ἐφώτισας τὰ νοήματα.

Ὑποφήτης πανάριστος
καὶ ἱερεὺς
τῶν θείων ἀνεδείχθης,
θεοφόρε πάτερ ἀξιοθαύμαστε.

Ἀπὸ βρέφους ἐλάτρευσας,
Ἀγαπητέ,
τῇ θείᾳ φρυκτωρίᾳ
καὶ ἐν ταύτῃ πέλεις ἀγαλλιώμενος.

f. 177ᵛ θεοτ. || Γυναικῶν σύ, πανάμωμε,
τὰ μητρικὰ
διέδρας, θεοτόκε,
ὡς τεκοῦσα μόνη Χριστὸν καὶ κύριον.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Ἀγαπητὸν τῷ Θεῷ
πεφυκὼς δι' ἀρετῆς σκήνωμα,
τὴν τῶν παθῶν
ἔφλεξας μανίαν·
f. 178 διὸ καὶ || ἱερεὺς
ὤφθης τῆς τριάδος,
θεόφρον πατὴρ ἡμῶν.

Πυρὸς ἀΰλου τὸ φῶς
ἐν τῇ καρδίᾳ σου λαβών, ὤλεσας,

heirm. δ' MR I, 96 67 ἀψευδῆ 78 σου
heirm. ε' EE 38, n. 51, Cosmae

'Αγαπητέ,
τῶν αἱρετιζόντων
τὰς γνώμας ὡς πιστὸς
τῆς ὀρθοδοξίας
ποιμὴν ἱερώτατος.

Ἱερουργὸς παμφαής,
'Αγαπητέ, τῶν εὐσεβῶν πέφηνας
καὶ ἐκτομὴ
πάσης, εὐνομίᾳ,
αἱρέσεως πικρᾶς
καὶ τῆς Σαβελλίου,
πατὴρ ἡμῶν ὅσιε.

Τὴν τοῦ ἀρρήτου σαφῶς
ἐναποθέμενος στοργήν, ὅσιε,
τὸ τοῦ Χριστοῦ
ποίμνιον ἐφ' ὕδωρ
δογμάτων εὐσεβῶν
ἴθυνας μιμήσει
τοῦ Παύλου, μακάριε.

178v || ᾠδὴ ς'. *'Εν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

'Επιστήμων τοῦ πνεύματος πέφυκας
ὡς ἱερουργήσας τὰ θεῖα μυστήρια
καὶ ἀποστόλων σύσκηνος,
ἱεράρχα πατὴρ ἡμῶν, γέγονας.

Παντοδύναμον πίστιν ἐνδέδυσαι
ὡς ὁ 'Ααρών, ἱεράρχα μακάριε,
καὶ τὰ σκιώδη ἔδρασας
τὴν παχύτητα· ὅθεν τιμῶμέν σε.

96 troparium I pro H incipit, quod in hymnis cum acrostichide non raro evenit
heirm. ς' EE 34, n. 46, Joannis 110 'Επιστήμων] ἐπιδῆμον scriptum videtur

108-109 Act. 9,14-15 114-115 Ex. 28,40-42; Ps. 76,21; 98,6; 104,26-27

Ἱερώτατον ὤφθης κειμήλιον
ἐν τῇ παντευχίᾳ τοῦ πνεύματος, ὅσιε·
τῆς ἀτοπίας ἤλεγξας
τὸ ἀλλόφυλον θράσος 'Αρείου στερρῶς.

θεοτ. Σὺ τὸν κτίστην τῆς κτίσεως τέτοκας
ἐπ' ἐσχάτων, ἄνανδρε, ὥσπερ ηὐδόκησεν,
φυλάξας τὴν ἁγνείαν σου
ἀσινῆ καὶ ἀπήμαντον, δέσποινα.

f. 179 || ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Τὸν νοῦν συντηρῶν
ἐξ αἱρέσεως πικρᾶς 'Αρείου, πάτερ,
ἐμυσταγώγησας τὴν ἀναίμακτον
τῇ ἐκκλησίᾳ λαμπρότητι
καὶ εἰς αἰωνίους θαλάμους,
'Αγαπητέ, κατεσκήνωσας·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Εἰκόνι παθῶν
μὴ λατρεύσας εἰς ἀεὶ ἐν τῇ ζωῇ σου,
προεχειρίσθης ἱερώτατος
τῆς ἐκκλησίας θεμέλιος
καὶ καθολικὸς ὑποφήτης,
'Αγαπητέ, τῷ κυρίῳ σου·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

Ἰάσας λαοὺς
ἀσθενοῦντας ἐν δεινοῖς 'Αρείου λόποις,
τῇ ἐκκλησίᾳ προσενήνοχας
καὶ τῷ βαπτίσματι, ὅσιε·
ὅθεν καὶ ἀγάπης ἐδείχθης,

heirm. ζ' EE 39, n. 53, Cosmae 143 ἄρει ἰόπης l[illegible]ris 'Αρείου λόποις coniеci

132-133, 140-141 Tob. 8,5

Ἀγαπητέ, θεῖον τέμενος·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

τ. Ὁ σὸς τοκετὸς
ἐθεούργησεν ἡμᾶς, παρθενομῆτορ,
καὶ ἀπενέκρωσε πᾶσαν αἵρεσιν
τῶν δυσμενῶν καθὼς γέγραπται·
ὅθεν εὐχαρίστως βοῶμεν
οἱ σωθέντες καὶ ψάλλοντες·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

79v || ᾠδὴ η'. *Πατέρα καὶ υἱὸν*

Ἰὸν αἱρετικὸν
πιστῶς κατεύνασας
ἐκ τῆς σῆς ποίμνης καὶ τὴν λατρείαν δὲ
τῆς ὀρθοδοξίας,
Ἀγαπητέ, ἐνέσπειρας.

Κρατῆρος μυστικοῦ
ἐπιγευσάμενος
τῆς ἀθανάτου ἐπαναπαύσεως,
ἔπλησας τὴν ποίμνην,
Ἀγαπητέ, ἀΰλου φωτός.

Ἐν σοὶ ὁ φωτισμὸς
τοῦ θείου πνεύματος
ἐπισφραγίσας τὴν ἐκκλησίαν σου
νόμῳ ἀληθείας,
Ἀγαπητέ, ὑμνοῦμέν σε.

Ἰδὼν ὁ λυτρωτὴς
μερόπων φύραμα

heirm. η' EE 42, n. 56, Andreae cognomine Τυφλὸς
heirm. καὶ om. cd. 171 νόμου

ἀπεγνωσμένον ἐκ τῆς ἀρχαίας ἀρᾶς,
ὤφθη ἐκ παρθένου
ζωὴν ἡμῖν δωρούμενος.

f. 180 || ᾠδὴ θ'. *Ἡ τὸν ἀχώρητον Θεὸν*

Ὡς τῆς τριάδος λειτουργὸς
καὶ πιστῶν εὐπρέπεια
ἡ ὁλόφωτος αἴγλη ἐπέλαμψεν
σοῦ ἐν στέρνοις,
ἱερώτατε πάτερ.

Θεμελιούμενος ἀεὶ
τῇ ἀρρήτῳ πίστει σου
f. 180v τῇ φρικτῇ || τριάδι, ἱερομύστα Χριστοῦ,
ὤφθης βάσις
ἀτρεκὴς τῆς τριάδος.

Ἡ ἐνυπόστατος τριὰς
ἐπὶ σοὶ σκηνώσασα,
φοβερόν σε ἔδειξε ῥήτορα,
θεοφόρε,
τῇ σεπτῇ ἐκκλησίᾳ.

θεοτ. Σὺ μόνη τέτοκας Θεὸν
ἀπαθῶς, θεόνυμφε,
ἐν δυσὶν οὐσίαις ὡς οἶδεν αὐτός·
διὰ τοῦτο
σοὶ τὸ « χαῖρε » βοῶμεν.

heirm. θ' EE 40, n. 53, Cosmae 197 σὺ

175 Gal. 3,13

Ἀγαπητέ, θεῖον τέμενος·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ὁ σὸς τοκετὸς
ἐθεούργησεν ἡμᾶς, παρθενομῆτορ,
καὶ ἀπενέκρωσε πᾶσαν αἵρεσιν
τῶν δυσμενῶν καθὼς γέγραπται·
ὅθεν εὐχαρίστως βοῶμεν
οἱ σωθέντες καὶ ψάλλοντες·
« εὐλογητὸς εἶ ὁ Θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

179v || ᾠδὴ η'. *Πατέρα καὶ υἱὸν*

Ἰὸν αἱρετικὸν
πιστῶς κατεύνασας
ἐκ τῆς σῆς ποίμνης καὶ τὴν λατρείαν δὲ
τῆς ὀρθοδοξίας,
Ἀγαπητέ, ἐνέσπειρας.

Κρατῆρος μυστικοῦ
ἐπιγευσάμενος
τῆς ἀθανάτου ἐπαναπαύσεως,
ἔπλησας τὴν ποίμνην,
Ἀγαπητέ, ἀΰλου φωτός.

Ἐν σοὶ ὁ φωτισμὸς
τοῦ θείου πνεύματος
ἐπισφραγίσας τὴν ἐκκλησίαν σου
νόμῳ ἀληθείας,
Ἀγαπητέ, ὑμνοῦμέν σε.

θεοτ. Ἰδὼν ὁ λυτρωτὴς
μερόπων φύραμα

heirm. η' EE 42, n. 56, Andreae cognomine Τυφλὸς
heirm. καὶ om. cd. 171 νόμου

ἀπεγνωσμένον ἐκ τῆς ἀρχαίας ἀρᾶς,
ὤφθη ἐκ παρθένου
ζωὴν ἡμῖν δωρούμενος.

f. 180 || ᾠδὴ θ'. *Ἡ τὸν ἀχώρητον Θεὸν*

Ὡς τῆς τριάδος λειτουργὸς
καὶ πιστῶν εὐπρέπεια
ἡ ὁλόφωτος αἴγλη ἐπέλαμψεν
σοῦ ἐν στέρνοις,
ἱερώτατε πάτερ.

Θεμελιούμενος ἀεὶ
τῇ ἀρρήτῳ πίστει σου
f. 180v τῇ φρικτῇ || τριάδι, ἱερομύστα Χριστοῦ,
ὤφθης βάσις
ἀτρεκὴς τῆς τριάδος.

Ἡ ἐνυπόστατος τριὰς
ἐπὶ σοὶ σκηνώσασα,
φοβερόν σε ἔδειξε ῥήτορα,
θεοφόρε,
τῇ σεπτῇ ἐκκλησίᾳ.

θεοτ. Σὺ μόνη τέτοκας Θεὸν
ἀπαθῶς, θεόνυμφε,
ἐν δυσὶν οὐσίαις ὡς οἶδεν αὐτός·
διὰ τοῦτο
σοὶ τὸ « χαῖρε » βοῶμεν.

heirm. θ' EE 40, n. 53, Cosmae 197 σὺ

175 Gal. 3,13

17 APRIL. *CANON* XXI

IN SANCTUM ACACIUM MELITENENSEM EPISCOPUM

Crypt. Δ.α. XVII	=	Ck,	ff. 176-181
Crypt. Δ.α. VIII	=	Do,	ff. 54-56ᵛ
Vat. gr. 2008	=	Vm,	ff. 150ᵛ-151ᵛ
Mess. gr. 121	=	Mh,	ff. 108-110
Vallic. gr. E 54	=	Ea,	ff. 202ᵛ-204
Reg. gr. 61	=	Lo,	ff. 64ᵛ-67
Paris. gr. 1575	=	Pv,	ff. 50ᵛ-51ᵛ
Paris. Suppl. gr. 152	=	Sc,	ff. 32-33

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Πηγήν σε πολλῶν θαυμάτων σέβω, μάκαρ· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε*

Πᾶσαν κακίαν νικήσας τοῦ ὄφεως
ἐν ἀκακίᾳ ψυχῆς
ὡς πολιτευσάμενος,
Ἀκάκιε σοφέ,
κακίας με ἐξάρπασον
παθῶν θανατοφόρων καὶ καλῶν
ἰδέαις κατακάλλυνον,
ὅπως εὐφημήσω σε
καλῶς ἀγωνισάμενον.

tit. Ἕτερος κανὼν φέρων ... Ck, tres enim canones praebet ipse cd. hoc ordine dispositos: primum, Ἀγαπητὸν τέμενος ..., quem antea protulimus, secundum Στέφανον ἀφθαρσίας ... MR IV, 324-328, tertium quem referimus ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε Mh Lo Acrostichidis verba Πηγήν σε πολλῶν θαυμάτων σέβω Pv, Πηγήν σε πολλῶν θαυμάτων μέλπω μάκαρ Mh: eadem om. Ea Sc Nomen Ἰωσήφ om. Mh Pv Sc

heirm. α' EE 220, n. 316, Joannis 7 ἰδέαις] εἰ δὲ Ea κατακάλλυνον] καταλάμπρυνον Mh Ea 9 ἀγωνισάμενος Lo

Ἡ λαμπροτάτη βλαστάνει σε ῥάδαμνον
ὡραῖον Μελιτινή,
μέγιστε Ἀκάκιε,
προφέροντα καρποὺς
ἡδίστους καὶ γλυκαίνοντα
καρδίας ὑπὲρ μέλι τῶν πιστῶν,
παθῶν τε ἐκδιώκοντα
ψυχοφθόρον, ὅσιε,
πικρίαν θείᾳ χάριτι.

Γόνος ὑπάρχων γονέων, Ἀκάκιε,
ὡς Σαμουήλ, ἱερῶν,
τῷ Θεῷ προσήνεξαι
δοτὸς ἐξ ἁπαλῶν
ὀνύχων ἀνατρέφεσθαι
f. 176ᵛ ἐν οἴκῳ ἱερῷ καὶ || λειτουργεῖν
κυρίῳ παντοκράτορι,
τῷ τὴν σὴν φαιδρύναντι
ψυχὴν ἐνθέοις πράξεσιν.

θεοτ. Ἡ ἀπορρήτως Θεὸν σωματώσασα
καὶ ἀπωσθέντας ἡμᾶς
τούτῳ καταλλάσσουσα,
πανύμνητε ἁγνή,
τὰ πάθη τῆς καρδίας μου
τῷ πάθει τοῦ υἱοῦ σου δυσωπῶ
θεράπευσον καὶ σῶσόν με,
καθ' ἑκάστην ψάλλοντα·
« ἐνδόξως γὰρ δεδόξασται ».

10 ῥάδαμνον | ῥάβδον Mh 11 ὡραῖα Sc 13 προσφέροντα Ea 17 ψυχοφθόρων Do Mh Ea Lo Pv 18 πικρίας Lo 19 Γόνος | μόνος Ea Lo Sc Ἀκάκιε] μακάριε Ea 20 ἱερὸν Ck Vm Ea Lo Pv 21 προσήνεξαι pro προσενήνεξαι metri causa nonnuli cdd. proferunt προσενήνεξαι Mh Ea 23 ἀναστρέφεσθαι Sc 24 λειτουργῶν Lo 26 φαιδρύνοντι Vm 30 τοῦτο Mh Ea Lo καταλλάξασα Do Vm Mh Ea Pv Sc καταλλάξασαν Lo 34 με om. Mh

10 Cfr. Iob 8,16 20 Sir. 46,13; Act. 3,24; 13,20

177 || ᾠδὴ γ΄. *Σὺ εἶ τὸ στερέωμα*

Νόμῳ καθυπέκλινας
ζωαρχικῷ σαυτόν, ὅσιε,
καὶ ἐκ ψυχῆς
πᾶσαν ἀνομίαν
θαυμαστῶς ἀπεμείωσας.

Σὲ πνεῦμα τὸ ἅγιον
πνευματικαῖς, σοφέ, πράξεσι
φωτοειδῆ
ὅλον γεγονότα
ἱερέα προβάλλεται.

Ἔβλυσεν ἡ γλῶσσά σου
ὡς ποταμούς, σοφέ, δόγματα,
τὰ θολερὰ
ρεύματα τῆς πλάνης
θείῳ σθένει ξηραίνοντα.

Πύλη ἀδιόδευτε,
τῆς μετανοίας μοι ἄνοιξον
πύλας, ἁγνή,
καὶ πρὸς τὰς ὁδούς με
τὰς εὐθείας κατεύθυνον.

v || ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ὀπαδὸς ἐχρηματίσας
θείων ἀποστόλων, πάτερ Ἀκάκιε,

heirm. γ΄ EE 224, n. 321, Joannis 37 νόμου Mh 38 ζωαρχικῶς αὐτὸν Ck Lo ζωαρχικῶς σεαυτὸν Mh ζωαρχικὸν σαυτὸν Ea 41 θανατοῦσαν ἐμείωσας Mh Ea θανατοῦσαν ἐμίσησας Lo Pv Sc 42 Σὲ] ἐ Ck 43 πνεύματι καὶ Mh 48 ποταμοῦ Ea 49 θολερὰ] λερὰ Mh 55 με] μου Lo om. Ea

Post oden γ΄ sequitur in Lo κάθ. ἦχος γ΄: *Θείας πίστεως.* Θείαις λάμψεσι τὴν ἐκκλησίαν / κατεφαίδρυνας τῶν σῶν θαυμάτων, / ἱεράρχα θεοφόρε Ἀκάκιε, / καὶ μετελθὼν πρὸς τὸ φῶς τὸ ἀνέσπερον, / τῇ παναγίᾳ τριάδι παρίστασαι· / πάτερ ὅσιε, / Χριστὸν τὸν Θεὸν ἱκέτευε / δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

heirm. δ΄ EE 225, n. 322, Cosmae

τὴν ἐκείνων αὐθεντίαν δὲ
τοῦ δεσμεῖν καὶ λύειν
κατεπλούτησας.

Λύρα ὤφθης τοῦ πνεύματος
δόγματα φωνοῦσα, πάτερ, σωτήρια,
Νεστορίου τοῦ παράφρονος
τὴν δυσώδη πλάνην
ἀφανίζοντα.

Λαμπροτάτη δεήσει σου,
πάτερ, ὑετοὺς τῇ γῇ ἐπωχέτευσας
καὶ τοὺς ταύτης κατεμέθυσας
ξηρανθέντας χρόνῳ,
μάκαρ, αὔλακας.

Ὡραιώθησαν, ὅσιε,
σοῦ αἱ σιαγόνες, τὰ θεῖα δόγματα
τοὺς πιστοὺς ἀρωματίζουσαι
καὶ δυσώδη πλάνην
ἀπελαύνουσαι.

θεοτ. Νεκρωθέντα με ζώωσον
καὶ πεπλανημένον τάχος ἐπίστρεψον,
ἀπλανὴς ὁδὸς ὑπάρχουσα
καὶ χειραγωγία
πάντων, δέσποινα.

f. 178 || ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Θαυμαστός σου ὁ βίος
ὤφθη τοῖς χαρίσμασι τοῦ θείου πνεύματος
περιηνθισμένος·

59 δὲ] γὰρ Mh Lo Pv Sc 63 δογματοφωνοῦσα Ea [illegible]οῦσι Mh πάτερ] ὥσπερ Lo σωτηρίαν Mh 65 δυσώδη] λυσσώδη Mh Ea [illegible] 67-71 troparium om. Ea 69 τοῦ Lo ταύτην Sc 73 σιαγ[illegible] Lo 76 ἀφανίζοντα Lo 79 ὁδοὺς Sc

heirm. ε΄ EE 219, n. 314, Joannis 82 θαυμαστῶς [illegible]

60 Matth. 16,19; 18,18 67-68 Cfr. Jac. ep. 5,18 7[illegible]3 Cfr. Cant. 1,10

ποταμοῦ γὰρ τὰ ἄτακτα ῥεύματα
προσευχῇ ἐπέχεις
κλῆθρον αὐτοῖς καὶ ὅρον πέτρας
ὑποθείς, ἱεράρχα Ἀκάκιε.

Ἀνὰ μέσον συνόδου
θείων ἐχρημάτισας πατέρων πρόμαχος,
ἱεράρχα πάτερ,
σὺν Κυρίλλῳ τῷ θείῳ, Ἀκάκιε,
τὴν ἁγνὴν παρθένον
ὁμολογῶν Θεοῦ μητέρα
καὶ τὸν δόλιον τρέπων Νεστόριον.

8v ‖ Ὑπὲρ μέλι γλυκάζον
τοῖς Μελιτινοῖς ἐγνωρίσθη ὁ λόγος σου,
ἐνηδύνων τούτων
τὰς ψυχὰς ἀγαθαῖς εἰσηγήσεσιν
καὶ τῆς ἁμαρτίας
ὑποδεικνύων τὴν πικρίαν,
ἀξιάγαστε πάτερ Ἀκάκιε.

Μὴ κενώσας τοὺς κόλπους
ὅλως τοῦ γεννήτορος ὁ ὑπερούσιος,
σοῦ ἐν κόλποις βρέφος
καθωράθη, παρθένε, κρατούμενος,
τὴν ἐμὴν πτωχείαν
ὑπερβολῇ φορέσας πλούτου,
εὐσπλαγχνίας ὁ μόνος φιλάνθρωπος.

‖ ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ.*

Ἁγνῆς μητρὸς τοῦ Θεοῦ
σεπτὸν ἀνήγειρας τέμενος,

87 κλεῖθρα Mh Ea πέτραν Vm Mh Ea Lo Pv Sc πέτρα Do 89 μέσον | μέσων Ck Mh Ea 91 ἱερῶν δογμάτων Lo Pv Sc 97 τῆς μελιτινῆς Lo 99 ἐξηγήσεσιν Lo Pv Sc 104 ὅλως | ὅλος Mh Ea 108 πλοῦτον Mh 109 εὐσπλαγχνία Ck Mh Ea ὁ] ὡς Sc

heirm. ϛ' EE 220, n. 315, Joannis σῶτερ Ck

107-108 Cfr. II Cor. 8,9

ναὸν πρὸ τούτου σαυτὸν
τελέσας τοῦ πνεύματος,
ἱερὲ Ἀκάκιε,
ὃν καθαγιάσας
ποταμὸν θαυμάτων ἔδειξας.

Τὰς σὰς ἁγίας εὐχάς,
ἃς πρὸς τὴν ποίμνην πεποίησο,
ἀπέκοπτε χελιδὼν
φωνοῦσα, Ἀκάκιε·
ἀλλὰ δεξαμένη σου
τὸν τῆς γλώττης νόμον
ἀπαράτρωτον ἐφύλαξεν.

Ὡς εἶδέ σε βασιλεὺς
ἱκετικῶς ἀφικόμενον,
τὰς σὰς αἰτήσεις πληροῖ·
τοῦ ἐπουρανίου γὰρ
βασιλέως ἔγνω σε,
θεοφόρε πάτερ,
ἀξιάγαστον θεράποντα.

θεοτ. Νοός μου τὰς ἐκτροπὰς
καὶ τῆς καρδίας οἰδήματα
τῷ σῷ ἐλέει, ἁγνή,
θεράπευσον δέομαι
καὶ τῆς συνεχούσης με
ἁμαρτίας ῥῦσαι,
τὸν πιστῶς σε μακαρίζοντα.

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ἀκακίᾳ, ὅσιε, τελειοτάτῃ
τὴν κακίαν ἅπασαν

112 λαὸν πρὸς τούτους αὐτὸν Ea ναὸν | λαὸν Mh πρὸς Mh Lo σαυτὸν] σαφῶς Mh 115 ὃν | ὃ Lo Sc 116 ποταμῶν Mh 117 εὐχὰς | φωνὰς Lo Pv Sc 118 πεποίησο pro ἐπεποίησο metri causa habeas πεποίηκας Vm πεποίησω (sic) Mh Lo 119 ἐπέκοπτεν Mh 123 ἐφύλαξας Pv 124 σε om. Mh 125 ἱκετικὸς Ea ἀφικόμενος Lo 126 αἰτήσεις] δεήσεις Sc 128 ἔγνω Mh 132 ἠδύματα | ἀοίδιμε Mh οἰδήματα Pv Sc 137 τῶν Ck Ea Lo

κάθ. om. Vm Mh Ea Lo heirm. καθ. HR, 169; pro hoc κάθ. in Do aliud legimus cuius initium sonat: Κανόνα πίστεως, εἰκόνα πραότητος . . . HR, 128

τῶν δυσμενῶν καταβαλών,
τὴν ἐκκλησίαν ἐστήριξας·
ὅθεν σε πάντες τιμῶμεν, Ἀκάκιε.

79v ‖ ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Συμπαθείᾳ τελείᾳ
σεμνυνόμενος, πάτερ,
πτωχοῖς ἐπήρκεσας
καὶ πᾶσιν ἀρρωστοῦσιν
ὑγείας ἐγνωρίσθης
ἀναμέλπουσι πρόξενος·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

Ἐνοχλούσας ἀρρώστοις
θεασάμενος μυίας,
πάτερ, ἀπήλασας
μηδόλως προσπελάζειν
αὐτοῖς παρεγγυήσας,
μετὰ ταῦτα, Ἀκάκιε,
« ὁ τῶν πατέρων » βοῶν
« Θεὸς εὐλογητὸς εἶ ».

Βότρυς ὥσπερ ἐκβλύσας
τὴν διάνοιαν οἶνον
ἡμῖν ἐκέρασας,
εὐφραίνοντα καρδίας
νοήμασι μεγίστοις
καὶ βοᾶν προτρεπόμενος·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

heirm. ζ' EE 224, n. 321, Joannis 140 πτωχούς Lo 142 ὑγιείας Do 144 ἡμῶν] βοῶν Pv 146 ἀρρώστους Lo 147 μίας Mh μίαν Lo 148 ἀπήλαυσας Pv 150 αὐταῖς Ck Vm αὐτησπερέγγυείσας (sic) Mh 151 μετὰ] καὶ μετὰ Mh 152 βοῶν] ἡμῶν Lo 154 βότρυν ὥσπερ ἐκθλίψας Do Vm Mh Ea Lo Pv Sc 155 οἶνω (sic) Lo 156 ἐκέρασας]κεκέρακας Mh Ea 157 εὐφραίνων τὰς Do 158 νοήμασι] ἐν αἵμασι Lo 159 προτρεπόμενον Pv

θεοτ. Ὡς αἰτίαν σε πάντες
τῆς ἡμῶν σωτηρίας,
θεοχαρίτωτε,
ὑμνοῦμεν καθ' ἑκάστην
οἱ δοῦλοί σου καὶ πίστει
μακαρίζοντες, μέλπομεν·
« ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ ».

f. 180 ‖ ᾠδὴ η'. *Οἱ θεορρήμονες παῖδες ἐν καμ...*

Μετὰ τῆς ἄνω χορείας, ἱεράρχα,
ματὰ ἁγίων ἁπάντων
τὸν ὑπεράγιον κύριον
ἁγιάσαι καὶ σῶσαι
ἡμᾶς, πάτερ, πρέσβευε.

Ἀλαλαγμῷ τοὺς βατράχους θορυβοῦντας
γαληνοτάτῳ σου λόγῳ
ἐπιτιμήσας μὴ φθέγγεσθαι,
ἀλλὰ μένειν ἀλάλους,
Ἀκάκιε, ἔδειξας.

Κατὰ τοῦ πλάνου συγγράψας Νεστορίου
λόγους ὡς λίθους τιμίους,
τὴν ἐκκλησίαν ἐστήριξας
ἐπὶ πέτραν ἀμώμου,
μακάριε, πίστεως.

τριαδ. Ἀναβοήσωμεν πάντες τῇ τριάδι
μετὰ τῶν ἄνω ταγμάτων·

164 θεομακάριστε Mh 167 μακαρίζομεν λέγοντες Do Mh μακαρίζομεν μέλποντες Lo Pv Sc

heirm. η' EE 227, n. 325, Joannis 171 μετὰ τῶν ἁγίων Lo 175-179 troparium om. Ea 176 γαληνοτάτως οὖν πάτερ Lo 177 ἐπιτιμᾶς μὴ προσφθέγγεσθαι Lo ἐπιτιμῆς μὴ προσφθέγγεσθαι Sc μὴ προσφθέγγεσθαι Pv 179 ἔδειξας] μέγιστε Lo Pv Sc 180-184 troparium om. Sc 180 πλάνου] λήρου Lo Pv 185-189 τριαδ. om. Ea

181 I Cor. 3,12-13

ἅγιος ἅγιος ἅγιος
ὁ πατήρ, ὁ υἱός τε
καὶ πνεῦμα τὸ ἅγιον.

οτ. Ῥεῖθρον ὑπάρχουσα, κόρη, ἀφθαρσίας,
καταφθαρέντα πολλαῖς με
ἁμαρτιῶν ἐπικλύσεσιν,
τῆς ἐν σοὶ θεραπείας,
παρθένε, ἀξίωσον.

180v ‖ ᾠδὴ θ'. *Ὅρους παρῆλθες τῆς φύσεως*

Ἰσχυροτάτῃ δεήσει σου,
πάτερ, οὐρανοὺς κεκλεισμένους ἠνέῳξας
καὶ πέτραν παραδόξως
πηγάζειν ἔδειξας
εἰς δόξαν τοῦ σωτῆρος,
θεοφόρε πάτερ Ἀκάκιε.

Ὡς μέγας ἤστραψας ἥλιος
ἐκ Μελιτινῆς τὰς ἀκτῖνας τῶν λόγων σου,
θαυμάτων τε τὸ φέγγος
πέμπων, Ἀκάκιε,
καὶ πάντας καταυγάζων
τοὺς εὐσεβῶς σε μακαρίζοντας.

Σοφίᾳ λόγου κοσμούμενος,
φέγγει τε πολλῶν θαυμάτων, Ἀκάκιε,
καὶ ἀρχιερωσύνης
ἐμπρέπων κάλλεσι,
μετέβης τῶν ἐν κόσμῳ
πρὸς ὑπερκόσμιον ἀπόλαυσιν.

191 πολλῶν Do Vm 194 ἀξίωσον | ἀξιάγαστε Mh
heirm. θ' EE 221, n. 316, Joannis 196 κεκλεισμένους | κλειομένους Sc Pv κλινόμενος Lo ἀνέωξας Do Vm 198 ἔδειξας] ἔπεισας Lo Pv Sc 200 θεόφρον ἔνδοξε Ἀκάκιε Do Vm τοῦ σὲ δοξάσαντος, Ἀκάκιε Mh Ea Pv Sc τοῦ σὲ δοξάζοντος ἀκάκιε Lo 207-212 troparium om. Ea Sc 207 σοφίας λόγῳ Vm λόγῳ Pv 208 θαυμάτων] ἰαμάτων Mh Lo Pv 211 μετέβει (sic) Lo

187 Apoc. 4,8; Is. 6,3

f. 181 ‖ Ἡ θεία μνήμη σου σήμερον
τὴν ὑπ' οὐρανὸν συγκαλεῖται ὑμνῆσαί σου
τοὺς πόνους, τοὺς ἀγῶνας,
τὰ κατορθώματα,
Ἀκάκιε τρισμάκαρ,
φωταγωγὲ τῶν καρδιῶν ἡμῶν.

θεοτ. Φωτὸς τερπνὸν ἱλαστήριον
ὤφθης ἀληθῶς τοῦ τὰ πάντα φωτίσαντος,
ὁλόφωτε παρθένε·
διό με φώτισον
κακίᾳ σκοτισθέντα,
ὅπως ἐν πίστει μεγαλύνω σε.

214 οὐρανῶν Lo ὑμνῆσαί σου] ἡ μνήμη σου Pv [illegible] τὴν: ἀνθρωπίνην φύσιν subaudias 219 Φῶς τὸ τερπνὸν οἰκητήριον Lo Pv [illegible]λαστήριον] οἰκητήριον Sc 220 τοῦ τὰ πάντα] τοῦ πάντας Ea φωτίσαντος] [illegible]ίζοντος Ea ποιήσαντος Lo 224 μεγαλύνω σε] μεγαλύνομεν Lo

IN SS. MM. IACOBUM ET AZAM

Synaxarium, 608 (*): Τῇ αὐτῇ ἡμέρᾳ ἄθλησις τῶν ἁγίων μαρτύρων Ἰακώβου πρεσβυτέρου καὶ Ἀζᾶ διακόνου. Οὗτοι κατὰ τοὺς χρόνους ἦσαν Σαβωρίου τοῦ βασιλέως..... Συλληφθέντες δὲ καὶ παραστάντες τῷ ἀρχιμάγῳ Ἀρχωγαιχάρ, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν σίναπι μετ' ὄξους τοῖς μυκτῆρσιν ἐδέξαντο· εἶτα τύπτονται καὶ μετεωρίζονται γυμνοὶ ὑπὸ τὸ αἴθριον τῷ νυκτερινῷ ψύχει καταπηγνύμενοι. Καὶ μὴ πεισθέντες θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρὶ τὰς κεφαλὰς ἀποτέμνονται. Κατελθόντος δὲ τοῦ δημίου εἰς τὴν παρακειμένην λίμνην καὶ τὸ ξίφος πλύναντος, μετεβλήθη τὸ ἐν αὐτῇ ὕδωρ εἰς αἷμα καὶ διήρκεσεν ἐπὶ πολύ· εἶτα ἐξηράνθη.

Paris. gr. 1564 = Py, ff. 39v-41

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δυὰς κροτείσθω μαρτύρων στεφηφόρων· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Δόξης καὶ λαμπρότητος θεϊκῆς
καταξιωθέντες,
τοὺς δοξάζοντας εὐσεβῶς
ταύτην τὴν φωσφόρον ὑμῶν μνήμην
σκότους παθῶν, ἀθλοφόροι, λυτρώσασθε.

Ὑμῶν τοῖς παλαίσμασιν ἐπὶ γῆς
οὐράνιοι νόες
κατεπλάγησαν, ἀθληταί·
τοὺς γὰρ ἀοράτους πολεμίους
μετὰ σαρκὸς ἐτροπώσασθε, μάρτυρες.

(*) In die 17 aprilis

Tit. Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε ... Acr.: Ἰωσήφ, in margine exaratum, deducitur e litteris capitalibus odes θ'.
heirm. α' EE 220, n. 315, Joannis 6 τὰ παλαίσματα

Αἱμάτων ἁγίων ἐπιρροαῖς
ἐβάψατε χλαῖναν,
ἀθλοφόροι, περικαλλῆ,
ἣν ἀμφιασάμενοι, τὰ ἄνω
περιχαρῶς κατοικεῖτε βασίλεια.

Συνέτριψαν κέντρα τοῦ πονηροῦ
Ἀζᾶς ὁ γενναῖος
καὶ Ἰάκωβος ὁ στερρὸς
πόνων παμμεγίστων καὶ μαστίγων
ἀντιτυπίαις καὶ νῦν μακαρίζονται.

θεοτ. Κυήσασα Λόγον τὸν τοῦ πατρὸς
ἡμῖν ἑνωθέντα
ὑπὲρ λόγον, μήτηρ ἁγνή,
τοῦτον ἀενάως ἐκδυσώπει
παθῶν ἀλόγων ἡμᾶς ἐκλυτρώσασθαι.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Ῥώμῃ τε καὶ χάριτι
τοῦ παντοκράτορος, μάρτυρες,
τὰ σκοτεινὰ
νέφη τῶν βασάνων
ἀπροσκόπτως διέβητε.

Ὄμβροις ἐξηράνατε
μαρτυρικοῦ, σοφοί, αἵματος
ὡς ἀληθῶς
τῆς πολυθεΐας
τὰ θολώδη ὀμβρήματα.

f. 40 || Τραύμασι σαρκὸς ὑμῶν
ἐτραυματίσατε, μάρτυρες,
περιφανῶς
πάντας τοὺς ἀσάρκους
θείᾳ χάριτι δαίμονας.

25 ἐκλυτρώσασθε
heirm. γ' EE 224, n. 321, Joannis

θεοτ.

Ἔτεκες, πανάμωμε,
τὸν ὑπερούσιον κύριον,
ὃν ἐκτενῶς
αἴτησαι σωθῆναι
τοὺς πιστῶς ἀνυμνοῦντάς σε.

Κάθισμα.

Ἦχος α'. *Τοῦ λίθου σφραγισθέντος*

* Ἐνώπιον τυράννων
τὸν Χριστὸν ὡμολόγησαν
Ἰάκωβος ὁ θεῖος
καὶ Ἀζᾶς ὁ πολύαθλος
καὶ θάνατον ὑπέστησαν ὁμοῦ
θαλάττης ὁμιλήσαντες μυχοῖς
καὶ τὰ ἄνω κατοικοῦσι
περιφανῶς βασίλεια χορεύοντες·
δόξα τῷ στεφανώσαντι, δόξα
τῷ ἐνεργοῦντι δι' αὐτῶν
πᾶσιν ἰάματα.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ἱερεῖα ὁλόκληρα,
μάρτυρες πανεύφημοι, προσηνέχθητε
τῷ τυθέντι ὥσπερ πρόβατον
διὰ μέγαν πλοῦτον ἀγαθότητος.

Συντριβόμενοι σώματα,
συντριβὴν ξοάνων ἐναπειργάσασθε·
διὰ τοῦτο τὰ συντρίμματα
πάντων, ἀθλοφόροι, θεραπεύετε.

καθ. Th 13 (1935) 173 in sanctum Leoniden   4 ἀζὰν cd.
heirm. δ' EE 225, n. 322, Cosmae

48 Act. 8,32

Θυρεῷ θείας χάριτος
βέλη τῆς κακίας ἐναπεκρούσασθε,
ἀθλοφόροι μεγαλώνυμοι,
καὶ νομίμως πίστει ἐνηθλήσατε.

Ὥσπερ δύο φωτίζετε,
μάρτυρες, ἀστέρες πᾶσαν ὑφήλιον,
σκοτασμὸν ἀποδιώκοντες
τῆς πολυθεΐας θείᾳ χάριτι.

θεοτ. Μετὰ τόκον διέμεινας
ἄφθορος, παρθένε· Θεὸν γὰρ τέτοκας
ἐκ φθορᾶς ἀνακαλούμενον
τοὺς σὲ θεοτόκον καταγγέλλοντας.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε,*

Ἀγώνων ἐπιδείξεσιν, ἅγιοι,
παμμεγίστων,
πολεμίους φάλαγγας
πολυειδεῖς ἐτροπώσασθε.

Ῥοπάλοις συντριβόμενοι, μάρτυρες,
τὸν τῶν ὅλων
Θεὸν οὐκ ἠρνήσασθε,
ἀλλὰ νομίμως ἠθλήσατε.

Τεινόμενοι, πανεύφημοι μάρτυρες,
ἐπὶ ξύλου,
τεταμένην εἴχετε
πρὸς τὸν Θεὸν τὴν διάνοιαν.

θεοτ. Ὑμνοῦμέν σε, πανύμνητε δέσποινα
θεοτόκε,
Θεὸν ὑπερύμνητον
ἀνερμηνεύτως γὰρ τέτοκας.

heirm. ε' EE 226, n. 324, Germani

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτιῶν*

Ῥήμασι τῷ δυσμενεῖ
ἀντετάξασθε πανσόφοις καὶ τούτου
τὴν ἀλογίαν πᾶσαν
λογικαῖς ἀποδείξεσιν
ἐτροπώσασθε, σοφοί·
ὅθεν ὑπέβαλε πολυτρόποις
ὑμᾶς βασάνοις μωραινόμενος.

Ὤφθητε ὡς ἀληθῶς
θεῖοι ἄνθρακες, φλογίζοντες πᾶσαν
40v τῆς δυσ‖σεβείας ὕλην
καὶ πιστοὺς καταυγάζοντες
σελασφόροις διδαχαῖς
καὶ ἐπιδείξεσι παραδόξων,
μεγαλομάρτυρες, δυνάμεων.

Νεύματι παντουργικῷ
λίμνη ὕδατος ἐστράφη εἰς αἷμα,
σταγόνα δεξαμένη
τοῦ σεπτοῦ ὑμῶν αἵματος,
τοῦ χυθέντος, ἀθληταί,
ὑπὲρ τῆς πίστεως τοῦ παθόντος
καὶ πάντων πάθη θανατώσαντος.

Στόματι ὡς ἀληθῶς
καὶ καρδίᾳ σε κηρύττομεν, κόρη,
ἁγνὴν Θεοῦ μητέρα·
ὃν ἀπαύστως ἱκέτευε
τῶν βελῶν τοῦ πονηροῦ
καὶ κατακρίσεως αἰωνίου
τοὺς ἀνυμνοῦντάς σε λυτρώσασθαι.

heirm. ς' EE 222, n. 318, Joannis

107 Eph. 6,16

Κάθισμα.

Ἦχος β'. *Τοῖς τῶν αἱμάτων σου ῥείθροις*

Τὰς οὐρανίους σκηνώσεις κληρούμενοι
καὶ τῶν μαρτύρων χοροῖς συνταττόμενοι,
τρυφᾶτε τρυφὴν ἀδιάρρευστον
εἰς τοὺς αἰῶνας,
καλλίνικοι μάρτυρες,
πρεσβεύοντες ἀπαύστως
ὑπὲρ πάντων ἡμῶν.

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Τίμιοι ὥσπερ μαργαρῖται
θεῖον στέφανον, σοφοί, τῆς ἐκκλησίας
ἐκοσμήσατε νῦν
βοῶντες, ἀθλοφόροι·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

Ἔτι σταζόμενοι τῷ λύθρῳ
τῷ τοῦ αἵματος, παρέστητε κυρίῳ
καὶ χειμάρρουν τρυφῆς
κληροῦσθε, μελῳδοῦντες·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς εἰς τοὺς αἰῶνας ».

Φῶς ὑμῖν ἄδυτον ἀθλήσει
ἐξανέτειλε, σοφοί, τελειωθεῖσι
καὶ αἰώνιον νῦν
κληροῦσθε εὐφροσύνην,
Ἀζᾶ μακαριώτατε
καὶ Ἰάκωβε θεόφρον.

heirm. καθ. MR I, 531.
heirm. ζ' EE 220, n. 315, Joannis

118 Ps. 35,9

τ. Ἤνθησας ἄνθος ἀφθαρσίας,
παναμώμητε, τὸν φυτουργὸν τοῦ κόσμου,
ὃν δυσώπει ἀεὶ
τὸν θεῖον ἐμφυτεῦσαι
φόβον αὐτοῦ, πανάμωμε,
ἐν ψυχαῖς τῶν σὲ ὑμνούντων.

ᾠδὴ η'. *Νικηταὶ τυράννου*

Φωταυγεῖς ἀστέρες
ἐν τῷ στερεώματι τῆς ἐκκλησίας,
ἀθλοφόροι θεῖοι,
ὤφθητε φωτίζοντες τοὺς μελῳδοῦντας·
« εὐλογεῖτε πάντα
τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὁλοτρόπῳ νεύσει
πρὸς Θεὸν θεούμενοι, μαστίγων πόνους
ὡς ἐν ἀλλοτρίῳ
σώματι ὑπέστητε, ἀναβοῶντες·
« εὐλογεῖτε πάντα
τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ῥείθροις τῶν αἱμάτων
τὸν βυθὸν ξηράναντες τῆς ἀθεΐας,
πηγὴ ἰαμάτων
τοῖς πιστοῖς γνωρίζεσθε, ἀναβοῶσιν·
« εὐλογεῖτε πάντα
τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

heirm. η' EE 221, n. 316, Joannis

vv. 140-141; 149; 155-157 omittuntur in cd.

Ὤφθη δεξαμένη
λίμνη θείου αἵματος ὑμῶν σταγόνα
παραδόξῳ θέᾳ
πλήρης ὅλη αἵματος ἐπὶ ἡμέρας,
ἥτις μετὰ ταῦτα
ἄνικμος διέμεινε,
μάρτυρες, τὸ θαῦμα
κηρύττουσα τὸ μέγα.

θεοτ. Νοερῶς σε πάλαι
ὁ προφήτης ἔβλεψεν, ἁγνή, λυχνίαν,
ἔνδον δεξαμένην
τὸ πῦρ τῆς θεότητος καὶ μὴ φλεχθεῖσαν,
παναγία κόρη,
μαρτύρων τὸ καύχημα,
τῶν ἁμαρτανόντων
ἀντίληψις βεβαία.

f. 41 || ᾠδὴ θ'. *Ἔφριξε πᾶσα ἀκοὴ*

Ἴαμα βρύει ἡ σορὸς
τῶν μαρτύρων ἐπομβρίαις τῆς χάριτος
καὶ παύει πάντοτε
ἀρρωστημάτων
καύσωνα μέγιστον
καὶ διεκχύσεις τῶν παθῶν
ξηραίνει ἐν χάριτι
καὶ καταρδεύει ψυχῶν
ὀρθοδόξων καθ' ἑκάστην φρονήματα.

Ὡς θεῖον ζεῦγος τὸν ζυγὸν
ἐβαστάσατε, πανένδοξοι μάρτυρες,
τὸν ἐλαφρότατον,
ὡς ἄρνες θεῖοι
ὑφ' ἓν ἐτύθητε

---

heirm. θ' EE 222, n. 317, Joannis

166-167 Cfr. Zach. 4,2

καὶ ἡγιάσατε τὴν γῆν
αἱμάτων τοῖς ῥεύμασιν,
Ἀζᾶ πανεύφημε
καὶ Ἰάκωβε· διὸ μακαρίζεσθε.

Στύλῳ μὲν ὕπερθεν φωτὸς
τὰ ὑμῶν Θεὸς ἐδόξασε σώματα
πρὸς γῆν ῥιπτόμενα
καὶ τοῖς θηρίοις
βορὰ διδόμενα,
ὁ οὐρανὸς δὲ τὰ σεπτὰ
ἐδέξατο πνεύματα
ἐν ἀπροσίτῳ φωτί,
τῶν μαρτύρων τοῖς χοροῖς συνταττόμενα.

Ἡ μνήμη ἡ περικαλλὴς
Ἰακώβου καὶ Ἀζᾶ ἀνατείλασα
σήμερον χάριτι
φωτίζει πάντων
ἡμῶν νοήματα,
τῶν εὐφημούντων τὰ αὐτῶν
σεπτὰ προτερήματα·
ὧν ταῖς πρεσβείαις, Χριστέ,
ἱλασμὸν ἁμαρτιῶν πᾶσι δώρησαι.

τ. Φάνηθι, μῆτερ τοῦ Θεοῦ,
ἀρωγὸς ἡμῖν ἀεὶ κινδυνεύουσι
βίου τῷ κλύδωνι
καὶ δίδου χεῖρα
ἡμᾶς ἐξαίρουσαν
πειρατηρίων χαλεπῶν,
νόσων τε καὶ θλίψεων,
ὅπως ὑμνῶμέν σε,
θεοτόκε, καὶ πιστῶς μακαρίζωμεν.

18 APRIL. *CANON* XXIII

IN SS. CC MARTYRES SUB DIOCLETIANO

Crypt. Δ.α. XVII Ck. ff. 181v-185

Ὁ κανών.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠιδὴν ἐπινίκιον*

Φαιδρῶς ἑορτάσωμεν
ἐπὶ τὴν μνήμην
τὴν θείαν καὶ πάντιμον,
τοῦ Χριστοῦ γεραίροντες
τοὺς ἀθλοφόρους· ἀεὶ
πρεσβεύουσι γὰρ ἐκτενῶς
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τῷ ζήλῳ πυρούμενοι
τοῦ θείου Παύλου,
μάρτυρες πανένδοξοι,
τοῦ Χριστοῦ τὰ στίγματα
ἐν τῇ σαρκὶ ὑμῶν
νῦν ἐπενδύσασθε, στερρῶς
ἀγωνισάμενοι.

Codex alternatis odis duos canones hoc ordine p[illegible]bet: priorem hunc quem referimus, alterum Τῇ τῶν παθῶν με τρικυμίᾳ ... invenies in MR IV, 330-335.

Tit. Ὁ κανὼν τῶν ἁγίων C μαρτύρων τῶν μαρτυρησάντων ἐπὶ Διοκλητιανοῦ ed. heirm. α' EE 11, n. 15, Andreae

8-9 II Cor. 11,2

Γυμνοὶ εἰς τὸ στάδιον
τοῦ παρανόμου
ἀλλήλους ἐξάπτοντες
οἱ γενναῖοι μάρτυρες,
οὕτως ἐκραύγαζον·
« μὴ χωρισθῶμεν ἀπ' ἀλλήλων,
συνοδία τερπνή ».

82 || ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Τοὺς ἀριστέας εὐφημήσωμεν
τῆς σεπτῆς τριάδος καὶ μάρτυρας·
τοὺς τῶν εἰδώλων γὰρ ναοὺς
καθελόντες ἐλέπτυναν
καὶ τὸν τύραννον κατήσχυναν, ἀνδρείως ἀθλήσαντες.

Μὴ ὑποκύψαντες προστάγμασιν
τοῦ τυράννου, μάρτυρες ἔνδοξοι,
ἀλλὰ προσβλέποντες ἀεὶ
πρὸς τὴν δόξαν τὴν μέλλουσαν,
κατοικίαν τοῖς ἁγίοις καὶ τιμὴν καὶ παράδεισον.

* Τὴν ἀπειράνδρως τὸν Θεὸν ἡμῶν
ἐν σαρκὶ τεκοῦσαν ὑμνήσωμεν
ὡς ὑπερτέραν οὐρανοῦ·
καὶ γὰρ αὕτη ἐχώρησεν
ὡς ηὐδόκησεν, ὡς οἶδεν ὁ Θεὸς πάσης κτίσεως.

2ᵛ || ᾠδὴ δ'. *Ἐπήρθη ὁ ἥλιος*

Τὴν ἔνδοξον ἄθλησιν
τῶν ἀθλοφόρων
συμφώνως εὐφημήσωμεν·

heirm. γ' EE 9, n. 12, Cosmae 29 προσβλέποντες: ἦτε subaudias 32-36 θεοτ. AHG 1 (1966) 254 34 ὡς πλατυτέραν οὐρανῶν AHG 36 ὃν ἡ κτίσις οὐκ ἐχώρησεν, ὡς οἶδεν ὡς εἵλετο AHG
heirm. δ' EE 11, n. 15, Andreae

αὐτοὶ γὰρ τὸν δόλιον ὄφιν ἀνδρείως
κατέβαλον τοῖς ποσὶ καὶ ἀπενέκρωσαν.

Στρατιὰ θεόλεκτος
καὶ μακαρία,
ἁγία συνοδία τερπνή,
πταισμάτων συγχώρησιν ἡμῖν παράσχου,
ὡς ἔχοντες πρὸς αὐτὸν τὴν παρρησίαν πολλήν.

« Ἠισχύνθη ὁ τύραννος,
στῶμεν ἀνδρείως,
ἠτόνησαν αἱ βάσανοι αὐτοῦ »,
ἐβόων οἱ μάρτυρες ἐν τῷ σταδίῳ,
ἀλείφοντες ἑαυτοὺς πρὸς τὰς βασάνους στερρῶς.

f. 183 || ᾠδὴ ε'. *Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον*

Ἐν τοῖς ἁγίοις σου ἐθαυμάστωσας,
σῶτερ, τὸ θέλημα
καὶ ἐν αὐτοῖς τὴν βασιλείαν σου
προευτρεπίσας,
ἤθλησαν, ἀπέλαβον
τὸν τῆς νίκης στέφανον.

Τὴν πανασίδιμον καὶ παγκόσμιον
μνήμην δοξάσωμεν
τῶν ἀθλοφόρων καὶ ἐν ᾄσμασιν
δοξολογῶμεν,
ὅτι τὸν ἀρχέκακον
ἐχθρὸν ἐθριάμβευσαν.

Δεσμὰ καὶ βάσανα κολαστήρια,
τήγανα, λέβητας
οὐκ ἐδειλίασαν οἱ μάρτυρες,

42 στρατεία 49 αἱ | οἱ 50 ἐβόουν
heirm. ε' EE 13, n. 16 Andreae 54 ἐν αὐτοῖς] ἑαυτοῖς 63 ἐθριάμβευσεν

40 Cfr. Sir. 11,29

ἀλλ' ὥσπερ ἄκμων
σώμασιν ἀήττητοι
σαφῶς ἐκαρτέρησαν.

183v || ᾠδὴ ϛ'. *Τὸν προφήτην Ἰωνᾶν*

Καθαιρέται τῶν παθῶν
καὶ διῶκται τῶν δεινῶν
ἀνεφάνη νῦν ἐν γῇ
τῶν ἁγίων ὁ χορός,
κηρύξαντες
τὸν ἐν τριάδι
Χριστὸν καὶ κύριον.

« Κἂν τὰ σώματα ἡμῶν
ἀφανίσῃς τῷ πυρί »,
οἱ σοφοὶ ὑπασπισταὶ
ἀνεβόων τολμηρῶς,
« παράνομε,
οὐκ ἂν χωρίσοις
ἡμᾶς τοῦ ζῶντος Θεοῦ ».

« Τί βραδύνεις, δικαστά »,
πρὸς τὸν τύραννον φησὶν
τῶν ἁγίων ὁ χορός,
ἡ τετρὰς πεντηκοστή,
« παράνομε,
τί ἐπὶ πλεῖον
μένεις, ἐχθρέ, καθ' ἡμῶν; »

Κάθισμα.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Χορὸν μαρτυρικὸν
οἱ πιστοὶ κατιδόντες
ἀθλησάντων στερρῶς,

heirm. ϛ EE 12, n. 15, Andreae 80 ἀνεβόουν
heirm. καθ. MR III, 481 3 ἀθλήσαντες

εὐφρανθῶμεν ἐνθέως
f. 184 καὶ || τούτους μακαρίσωμεν
ὡς ὁπλίτας τῆς πίστεως·
οὗτοι ᾔσχυναν
τὰς μηχανὰς τοῦ τυράννου
καὶ ἀπέλαβον
τῆς ἀφθαρσίας στεφάνους,
Χριστὸν τὸν Θεὸν ἡμῶν.

ᾠδὴ ζ'. *Ἡ κάμινος, σωτήρ, ἐδροσίζετο*

Τὰ βάσανα
τὸ πῦρ οὐ κατέπτηξαν,
τὰ θέατρα
τὸ πῦρ οὐκ ἀπέμειναν
οἱ ἀθληταὶ κυρίου
ἐν πίστει στερεούμενοι.

Ἀγάλλονται
ἀγγέλων στρατεύματα,
εὐφραίνεται
βροτῶν ἡ ὁμήγυρις
ἐν τῇ σεπτῇ ἡμέρᾳ
τῶν σοφῶν ἀθλοφόρων Χριστοῦ.

Δεόμεθα,
Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἐλέησον
τοὺς πίστει ὑμνοῦντάς σε
ταῖς ἱκεσίαις πάντων
τῶν ἁγίων μαρτύρων σου.

ᾠδὴ η'. *Ὃν φρίττουσιν ἄγγελοι καὶ πᾶσαι στρατιαὶ*

Δυνάμει τοῦ πνεύματος ἀθλήσαντες στερρῶς
κλεινῶς τε πεντήκοντα

heirm. ζ' EE 12, n. 15, Andreae
heirm. η' EE 12, n. 15, Andreae 110 κλεινοῖς

τετράς, οἱ φαεινοί,
τὴν φάλαγγα πάλαι
ἐκπορθήσαντες,
τὸν δεσπότην μόνον
Χριστὸν ὁμολογοῦντες.

Τὰ ξίφη ἠμβλύνατε, σοφοί, τῶν ἀσεβῶν,
τὸ πῦρ κατεσβέσατε,
ἐλθόντες ἐν αὐτῷ·
δοξάζειν γὰρ οἶδεν
τοὺς δοξάζοντας
καὶ ὁμολογοῦντας
Χριστὸν εἰς τοὺς αἰῶνας.

184v || Μετέστητε, ἔνδοξοι, πρὸς τὴν ἄϋλον ζωήν·
οὐράνιος σκήνωσις
ἐδέξατο ὑμᾶς
καὶ νῦν μετ' ἀγγέλων
συναυλίζεσθε,
θρόνῳ παρεστῶτες,
σοφοί, τῷ τῆς τριάδος.

ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην*

Τέλος τὸ ξίφος μετέσχον
οἱ ἀθληταὶ τοῦ κυρίου
καὶ μετὰ τέλους τὸν μισθὸν
τῶν καμάτων ἀξίως
ἀπολαβόντες, φαεινῶς
τῷ πνεύματι λάμπουσιν
οἱ ἅγιοι
πᾶσαν τὴν οἰκουμένην·
ἐκτελοῦμεν
τὰ μνημόσυνα αὐτῶν.

115 ὁμολογοῦντες subaudias ἦτε cfr. v. 154 127 συναυλίζεσθαι 129 τὸ heirm. θ' EE 14, n. 17, Andreae 134 φαεινὸς

123 Cfr. Col. 1,13 132-133 I Cor. 3,8

Ταξιαρχίαις ταῖς ἄνω
συναγαλλόμενοι πάντες,
ἡ τετραπλῆ πεντηκοστὴ
τῶν ἁγίων μαρτύρων,
καὶ σὺν τοῖς μάρτυσι φαιδρῶς
λαμπόμενοι, μνήσθητε
τοὺς σέβοντας
τὴν ἐτήσιον μνήμην
καὶ τιμῶντας
τῶν λειψάνων τὴν σορόν.

Ὥσπερ ἀσώματοι ὄντες
τῶν ἀσωμάτων δαιμόνων
f. 185 || καταβαλόντες τὴν ἰσχύν,
πενταπλῆ σαρακοστή,
περιβαλλόμενοι στερρῶς
ὡς θώρακα ἄριστον
τὸν τίμιον
τὸν σταυρὸν τοῦ κυρίου,
ἀριδήλως
τὸ στρατόπεδον αὐτοῦ.

153 πεντεπλῆ

19 APRIL.

CANON XXIV

IN SANCTUM THEODORUM PERGENSEM

Synaxarium, 613-615: Οὗτος διὰ τὸ στηλιτεῦσαι τὴν τῶν εἰδώλων πλάνην καὶ ναοὺς καὶ ξόανα καταστρέψαι, ἐπὶ ἐσχάρας πυρακτωθείσης ἁπλωθεὶς κατακαίεται καὶ κρηπῖσι τοὺς πόδας ἡλωθεὶς ἅρματι τῶν ἵππων προσδεθεὶς ἐλαύνεται· ἐκεῖθέν τε χάριτι Θεοῦ περισωθεὶς ἐν καμίνῳ πυρὸς ἀπορρίπτεται ἅμα Σωκράτει καὶ Διονυσίῳ, καὶ ἀβλαβὴς διαμείνας τῇ εἱρκτῇ ἐναποτίθεται. Καὶ τῇ ἕωθεν σταυρῷ προσπαγεὶς βέλεσι τιτρώσκεται καὶ μέχρι τριῶν διαρκέσας ἡμερῶν τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

Crypt. Δ.α. XVII	=	Ck,	ff. 186-190
Crypt. Δ.α. VIII	=	Do,	ff. 60v-63
Vat. gr. 2008	=	Vm,	ff. 153-154v
Reg. gr. 61	=	Lo,	ff. 70v, 83-86
Mess. gr. 121	=	Mh,	ff. 113v-116
Vallic. gr. E 54	=	Ea,	ff. 207v-209v
Paris. Coislin gr. 309	=	H,	ff. 182v-186v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δῶρον Θεοῦ σε, παμμάκαρ, πίστει σέβω· Ἰωσήφ.

Ἦχος δ′.

ᾠδὴ α′. *Ἀνοίξω τὸ στόμα μου*

Δῶρον εὐαπόδεκτον
καὶ τῷ δεσπότῃ φιλούμενον,
μαρτύρων ἀγλάϊσμα
ὤφθης, Θεόδωρε,
διὰ τοῦτό σοι

Τοῦ ἁγίου μάρτυρος Θεοδώρου τοῦ ἐν Πέργῃ καὶ τῆς τούτου μητρὸς Φιλίππας καὶ τῶν σὺν αὐτοῖς Σωκράτει Διονυσίῳ καὶ Διοσκόρῳ καὶ τοῦ ἁγίου μάρτυρος Παφνουτίου Ck   Acrostichis om. in Ea   Nomen Ἰωσήφ om. Mh H
heirm. α′ EE 99, n. 141, Joannis   3 ἀγλάϊσμα] καλλώπισμα H

ὡς δῶρον προσκομίζω
τὸν ὕμνον· παράσχου μοι
τὴν σὴν βοήθειαν.

Ὡραῖος τῷ σώματι,
περικαλλής τε τῷ πνεύματι
ὑπάρχων, ἐχώρησας
πρὸς τὰ παλαίσματα
τοῦ ἀλάστορος
καὶ τοῦτον ἐδαφίσας,
τῆς νίκης τὸν στέφανον,
μάρτυς, ἀπείληφας.

Ῥημάτων ἠλόγησας
τοῦ δυσσεβοῦντος, Θεόδωρε,
σαυτὸν δὲ θεράποντα
κυρίου γνήσιον
καὶ στρατιώτην
Χριστοῦ τοῦ βασιλέως
καὶ τέλειον μάρτυρα
σαφῶς ἀπέδειξας.

θεοτ. Οἰκήσας τὴν μήτραν σου
ὁ κατὰ φύσιν ἀπρόσιτος,
οἰκήτορας ἔδειξεν
ἡμᾶς, πανάμωμε,
τοῦ παραδείσου
ἀφάτῳ εὐσπλαγχνίᾳ,
οὗπερ ἀπῳκίσθημεν
φθόνῳ τοῦ ὄφεως.

f. 186v ‖ ᾠδὴ γ′. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

Ναὸς γεγονὼς πνεύματος θείου,
ναούς τε καὶ ξόανα, σοφέ,

6 προσκομίζων Lo   προσκομίζον Mh Ea   9 ὡραῖος Mh Ea   14 ἐκδαφίσας Ck Lo   ἐδάφησας Ea   19 δὲ θεράποντα] σὲ Θεόδωρε Lo   24 ἀπέδειξας] ἀπεδίωξας Mh   25 οἰκήσας] Νικήσας Ck   27-28 καὶ ταύτην πανάμωμε / ναὸν εἰργάσατο H   29 καὶ παράδεισον H   31 ἀποικίσθημεν Lo Ea H
heirm. γ′ EE 100, n. 141, Joannis   33 πνεύματος θείου] Θεοῦ τοῦ ζῶντος Lo

13 IV Mac. 9,24   31-32 Gen. 3,23-24

τῆς ἀπωλείας ἔφλεξας
καὶ λόγοις ἐθριάμβευσας
τὰ βδελυρὰ σεβάσματα
τῶν ἀνομούντων, Θεόδωρε.

Θυμῷ καὶ ὀργίλῳ προαιρέσει
παράνομος τύπτει σε κριτὴς
τοὺς νόμους τοῦ Θεοῦ ἡμῶν
κρατύνοντα, Θεόδωρε,
ὃν καθορῶν ἐνώπιον,
ἀπαρασάλευτος ἔμεινας.

Ἐτέθης προθύμως ἐπ' ἐσχάρας
πεπυρακτωμένης, ἀθλητά,
τῷ ζήλῳ πυρπολούμενος
Θεοῦ τοῦ παντοκράτορος
καὶ τῇ αὐτοῦ φλεγόμενος
θείᾳ ἀγάπῃ, Θεόδωρε.

Ὁ ἄχρονος φύσει ὑπὸ χρόνον
ἐκ σοῦ καθωράθη γεννηθεὶς
σαρκὸς ἐν ὁμοιώματι,
τὰ χρόνιά μου πταίσματα
δι' εὐσπλαγχνίαν ἄφατον
ὑπερορῶν, παναμώμητε.

|| ᾠδὴ δ'. *Ὁ καθήμενος ἐν δόξῃ*

Ὑπελθόντα τὴν ἐσχάραν
ἐπουράνιος ἄγγελος

35 ἔφλεξας] ὤλεσας Lo Ea H ὥσλεσας (sic) Mh 40 τύπτει σε παράνομος κριτὴς Lo Ea H τύπτειν σε παράνομος κριτὴς Mh 45-50 troparium om. H heirm. δ' ΕΕ 95, n. 135, Joannis

57-63 AA.SS. Sept. VI, 138: Facto enim ingenti sonitu, terraque in duas partes scissa, ubi ignis et craticula erant posita, aqua abulliens craticulam et omne extinxit incendium. Sanctus vero exsurgens omnino sanus, . . .

58-60 Dan. 3,49-50

ἐπιστὰς δροσίζει
ἄφλεκτον τηρῶν σε, Θεόδωρε,
ποταμιαίων ὑδάτων
ἀναβλύσεσιν
καὶ σεισμοῦ καὶ ἤχου φοβεροῦ ἐπιδείξεσιν.

Σοῦ φρικτῶς θαυματουργοῦντος
ὁ τῇ πλάνῃ προσκείμενος
πρὸς τὴν πίστιν αἴφνης,
μάρτυς, ὥσπερ λίθος κυλίεται
καὶ τοῖς χοροῖς τῶν μαρτύρων
καταλέγεται
ὁ Διόσκορος διὰ Χριστὸν τελειούμενος.

Ἐν φρουρᾷ τεθεὶς ὡς φύλαξ
τῶν τοῦ κτίστου προστάξεων,
ἣν ἐκ βρέφους ἔσχες
πίστιν τῷ Θεῷ διεφύλαξας,
τὸν δὲ μὴ ταύτην φρονοῦντα
ὡς παράνομον
ἐβδελύξω τελείῳ νοΐ, παναοίδιμε.

Πολυώδυνα βασάνων
πειρατήρια ἤνεγκας
καὶ πολλῶν ὀδύνας,
μάρτυς, θεραπεύειν ἠξίωσαι,
τὰς ἀνωδύνους σκηνώσεις
κληρωσάμενος
καὶ τὴν ἄλυπον ὄντως ζωὴν καὶ ἀπόλαυσιν.

θεοτ. Ἄνευ τέτοκας ὠδίνων
τὸν Θεὸν τὸν ἀσώματον,
τῶν ὠδίνων, κόρη,

59 δροσίζων Lo 64 Σοῦ φρικτῶς] τοῦ πιστῶς Lo φρικτῶς] πιστῶς Ea H πιστοὺς Mh 69 καταλέγεται] κατατάττεται Lo Mh H 70 Χριστὸν] πυρὸς Lo H 74 διεφύλαξεν Lo 75 τοὺς δὲ μὴ ταύτην φρονοῦντας H ὡς δεσμῷ ταύτην φρονοῦντας Lo ταῦτα Do 76 ὡς παράφρονας Lo H 78-84 troparium om. Ea H 78 βασάνων] τὰ πάθη Lo 80 ὀδύνων Mh 82 τὰς ὀδύνας κινούσης Lo

87-88 Gen. 3,16

Εὔαν τὴν προμήτορα λύοντα
καὶ τῶν ὀδυνῶν τοῦ Ἅιδου
ἐκλυτρούμενον
τοὺς ἐπώδυνον σχόντας ζωὴν καὶ ταλαίπωρον.

87v || ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Μεγάλως τὴν ἄθεον
ἀπάτην ἐστηλίτευσας·
ὅθεν ἐπὶ ἅρματος ἐδέθης,
μένεις δὲ σῶος
ἵππων πυρίνων σε
ἐπαναλαβόντων φλογερῷ
ἅρματι, Θεόδωρε,
ὡς Ἠλίαν τὸν ἔνδοξον.

Μανεὶς ὁ παράνομος
καμίνῳ καιομένῃ σε,
ἅμα τῷ Σωκράτει καὶ τῷ θείῳ
Διονυσίῳ,
μάκαρ, ἐνέβαλεν,
μεθ' ὧν προφητῶν τὸ ἱερὸν
ἔμελπες μελῴδημα,
γενναιόφρον Θεόδωρε.

Αἰνείσθω ἐν ᾄσμασιν
ὁ θεῖος Διονύσιος,
ἅμα τῷ Σωκράτει τῷ γενναίῳ·
μέσον καμίνου
λογχιασθέντες γάρ,

89 ὠδίνων cdd. cfr. v. 91   90 ἐκλυτρούμενος Lo   ἐκλυτρωσάμενον Mh   91 ἐπώδυνον] ἐπ' ὠδίνων Lo   ζωὴν καὶ ταλαίπωρον] ἁμαρτάνοντας Lo   ζωῆς ἁμαρτάνοντας H   ταλαίπωρον] ἀπόλαυσιν Mh Ea

heirm. ε' EE 100, n. 141, Joannis   94 ἐδέθης] ἐδείχθης Mh Ea   97 φλογερῶν Lo Mh   101 καμίνου καιομένην σε H   καμίνου καιομένης φλογὸς Lo   102 τῷ om. Lo   104 κατέβαλεν Mh   108-115 troparium om. H   108 ἀνείσθω Ea

89 Ps. 17,6   94-99 Sir. 48,9

μάρτυρες γεγόνασι στερροὶ
θείαις παραινέσεσιν
Θεοδώρου πειθόμενοι.

θεοτ. Κυρίως ὑπάρχουσα
καὶ ἀληθῶς, πανάμωμε,
μόνη θεοτόκος, κυριεύειν
καταδουλούντων
παθῶν με σθένωσον,
ὅπως ἐλευθέρῳ λογισμῷ
χαίρων μακαρίζω σε,
τῶν πιστῶν τὸ διάσωσμα.

f. 188 || ᾠδὴ ς'. *Τὴν θείαν ταύτην καὶ πάντιμ...*

Ἀγγέλου θείαις φοιτήσεσιν
τὸ πῦρ μὲν τῆς καμίνου ἐσβέννυτο,
ἡ δὲ καρδία σου
θάρσους, παμμάκαρ, πεπλήρωτο
τῇ πρὸς τὸν κτίστην νεύσει
ἐπαναθάλλουσα.

Ῥητῶν ἁγίων ὡς ἤκουσεν
τῆς σὲ γεννησαμένης ὁ τύραννος,
μάρτυς Θεόδωρε,
ταύτην τῷ ξίφει ἐκδίδωσιν,
μαρτυρικῶς τὸν θεῖον
δρόμον τελέσασαν.

Ποθοῦσα οἷάπερ δάμαλις
Φιλίππα τῷ υἱῷ συντεθνήξασθαι,

114 παραινέσεσιν] παρακλήσεσιν Mh   115 καὶ ἀλ[...]ῶς πανθαύμαστοι Ck   πειθήσαντες Lo   120 παθῶν] ἐχθρῶν Ck   στένωσον Lo   121 λογισμῶν Mh   122 χαίρῳ Lo

heirm. ς' EE 100, n. 141, Joannis   127 πεπλήρ[...] Mh   ἐπλήρωται Ea   128 τῇ] τὴν Lo   τῆς Ea   νεύσεσι Mh   130-13[...] troparium om. H   130 ὡς ἤκουσε] εἰσήκουσεν Mh Ea   133 ἐκδέδωκε Lo Vm   εδίδωσιν Mh   135 τελέσασα Do Vm Lo   τελέσαντα Mh   137 φι[...]ω Lo H   συντεθνήξεσθαι Do Vm

σπουδῇ ἐφίσταται
μέσον σταδίου αὐτόκλητος,
τὴν τῶν μαρτύρων δόξαν
ἀπολαμβάνουσα.

Ἰδοὺ τὸ ὄρος τὸ ἅγιον,
ἰδοὺ ἡ μυροθήκη τοῦ πνεύματος,
ἰδοὺ ἡ γέφυρα
ἡ πρὸς Θεὸν πάντας φέρουσα,
ἡ θεομήτωρ κόρη,
ἣν μακαρίσωμεν.

|| Κάθισμα.

Ἦχος δʹ. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Τῶν τοῦ σωτῆρος δωρεῶν τὸν ἐπώνυμον
καὶ κληρονόμον τῆς αὐτοῦ μακαριότητος
ὡς μιμητὴν καὶ μάρτυρα
Χριστοῦ τοῦ Θεοῦ
δεῦτε εὐφημήσωμεν,
τὴν σεπτὴν αὐτοῦ μνήμην
νῦν πανηγυρίζοντες
καὶ πιστῶς ἐκβοῶντες·
« μεγαλομάρτυς, πρέσβευε ἡμῖν
τῶν ἐγκλημάτων
δοθῆναι τὴν ἄφεσιν ».

ᾠδὴ ζʹ. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Συντηρούμενος τῇ δρόσῳ τῇ τοῦ πνεύματος
ὥσπερ οἱ παῖδες οἱ τρεῖς,

138 ἐφίστασθαι Lo   139 αὐτόκλητος] ἐφίστασε (sic) Mh   141 ἀπολαμβάνουσαν Lo   146 θεομήτωρ] θεοτόκος Lo Mh Ea H
κάθ. om. Mh, idem praeponitur canoni in Vm Ea. Post oden γʹ praebetur in Lo H
heirm. καθ. HR, 29   5 εὐφημήσωμεν] τὴν πανέορτον Lo H   6 τὴν] καὶ Lo H   7 πανηγυρίσωμεν Lo H   8 καὶ πιστῶς] πρὸς αὐτὸν Lo H   ἐκβοῶμεν Ea   9 ἡμῶν Ea
heirm. ζʹ EE 100, n. 141, Joannis   148 τῇ τοῦ] τὸ τοῦ Mh

142 Dan. 2,34   149-150 Dan. 3,50

ἄφλεκτος μέσον πυρός,
θεόφρον Θεόδωρε,
σὺν τούτοις ἔψαλλες·
« ὑπερύμνητε,
ὁ τῶν πατέρων κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ ».

Τῶν Ἑλλήνων τὴν ἀπάτην ἐστηλίτευσας,
μάρτυς Θεόδωρε,
λόγῳ τῆς χάριτος
πλουσίως πηγάζοντι
ἐκ τῶν χειλέων σου
καὶ ἐκραύγαζες·
« ὁ τῶν πατέρων κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ ».

Ἐμυήθη σου τὴν κλῆσιν καὶ τὴν ἄθλησιν
ἡ σὲ κυήσασα
καὶ πρὸ συλλήψεως,
Θεόδωρε ἔνδοξε
μάρτυς πολύαθλε,
ἀναμέλπουσα·
« ὁ τῶν πατέρων κύριος
καὶ Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. * Ἱλαστήριόν μοι φάνηθι, πανάμωμε,
πρὸς τὸν τεχθέντα ἐκ σοῦ,
ἀποκοπὰς χαλεπῶν
χρεῶν προξενοῦσά μοι
καὶ βασιλείας Θεοῦ
θείαν εἴσοδον
καὶ τῆς τρυφῆς ἀπόλαυσιν
καὶ φωτὸς τὴν μετουσίαν.

154-155 εὐλογητὸς εἶ κύριε / ὁ Θεὸς τῶν πατέρων ἡμῶν V[illegible]   156-163 troparium om. H   160 σου] τῶν σῶν Lo   163 ὁ τ[illegible] πατέρων] ὑπερύμνητε Ea   164 τὴν] τοῖς Mh   τῇ κλήσει H   166 πρὸς συλ[illegible]εως Ck   167 ἔνδοξε] μέγιστε Lo H   169 ἀναμέλποντα Lo   170 κ[illegible] om. Ea   172-179 θεοτ. PID πγʹ   172 Ἱλασθήριον Mh   178 καὶ om I[illegible]   179 μετ' οὐσίαν Lo

154-155, 162-163, 170-171 Dan. 3,52

9 || ᾠδὴ η΄. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Σταυρῷ ὑψωθεὶς τριημερεύεις
ἐν τούτῳ κρεμάμενος, Θεόδωρε,
πάθος τοῦ δεσπότου σου
τὸ ἀειμακάριστον
ὥραις τρισὶ γενόμενον
ἐξεικονίζων σαφῶς,
« τὸν κύριον ὑμνεῖτε » κραυγάζων
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἐτάθης ἐν ξύλῳ, ἐπωδύνους
δεχόμενος τρώσεις καὶ κατέτρωσας
ὄφιν τὸν πολέμιον
γεύσει ξύλου θάνατον
ὀδυνηρόν, Θεόδωρε,
δημιουργήσαντα
Ἀδὰμ καὶ τοῖς Ἀδὰμ φυομένοις·
ὅθεν σε τιμῶμεν
εἰς πάντας τοὺς αἰῶνας.

Βοᾷ σου ἡ Πέργη τοὺς ἀγῶνας,
τοὺς πόνους, τὴν ἄθλησιν, τὰ στίγματα,
πάθος τὸ μακάριον,
θάνατον τὸν τίμιον,
δι᾽ οὗ πρὸς τὴν ἀθάνατον
ζωήν, Θεόδωρε,
μετέστης εὐλογῶν καὶ κραυγάζων·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

heirm. η΄ EE 100, n. 141, Joannis 181 τοῦτο Lo 182 τοῦ δεσπότου σου om. Mh 184 ὁρέστιν συνγενόμενον (sic) Lo γενόμενος Mh 186 ὑμνεῖτε κραυγάζων] βοῶν εὐλογεῖτε H κραυγάζων] τὰ ἔργα Lo Ea 189 ἐτάνθης Ck Do Vm Ea ἐτέθης Lo ἐπωδύνως Ck Lo Mh Ea 191 ὄφιν] ἐχθρὸν H 193 ὀδυνηρῷ Lo 195 τοῖς] τῆς H ἀδὰμ] αὐτοῦ Lo 198-206 troparium om. H 204 μετέβης εὐλογῶν καὶ κραυγάζων Mh μετέβης εὐλογητὸς κραυγάζων Lo εὐλογῶν] μελωδῶν Do Vm

180-184 Marc. 15,25 191-195 Gen. 3,4-7

θεοτ. Ὢ βάθος ἀρρήτων μυστηρίων·
ὁ πλάσας χειρὶ πάλαι τὸν ἄνθρωπον
πλάττεται σαρκούμενος,
μήτραν ἀειπάρθενον
καθυποδὺς καὶ σώζει με
φόβῳ κραυγάζοντα·
« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 189ᵛ || ᾠδὴ θ΄. *Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι*

Ἴχνεσι Χριστοῦ
ἑπόμενος, πάνσοφε,
τοῦ πρωτομάρτυρος
σταύρωσιν ὑπέμεινας,
δεσμὰ καὶ τρώσεις
ἥλων δεξάμενος
καὶ ἀπὸ γῆς ἀνέδραμες
πρὸς τὰ οὐράνια
στεφηφόρος,
γέρα κομιζόμενος
βασιλείαν Θεοῦ ἀδιάδοχον.

Ὤφθης ὡς χρυσός,
Θεόδωρε, εὔρυζος
μέσον ἑστὼς τοῦ πυρός,

207 ἀρρήτου μυστηρίου Do Vm Lo Mh Ea H 210 σταύρωσιν ὑπέμεινας Lo 211 καὶ ἀπὸ γῆς ἀνέδραμες Lo σώζεις Mh Ea 212 πρὸς τὰ οὐράνια Lo 213-215 στεφηφόρος / γέρα κομισάμενος / βασιλείαν Θεοῦ ἀδιάδοχον Lo
heirm. θ΄ EE 100, n. 141, Joannis 216-226 troparium om. H 218 τοῦ πρώτου μάρτυρος Do 219-222 μήτραν ἀειπάρθενον / καθυποδὺς καὶ σώζεις με / φόβῳ κραυγάζοντας / τὸν κύριον ὑμνεῖτε τὰ ἔργα Lo 227-237 hoc trop. ante θεοτ. praebet H

208 Gen. 1,26-27

ἐν συγκαταβάσει δὲ
σεπτοῦ ἀγγέλου
ἀναφλεγόμενος
τῷ τοῦ δεσπότου ἔρωτι,
ἄφλεκτος ἔμεινας
σὺν ἐκείνῳ
μέλος τὸ σωτήριον
μελῳδῶν ἱερῶς ἀγαλλόμενος.

Στῶμεν εὐσεβῶς
ἐν οἴκῳ Θεοῦ ἡμῶν,
τὸν ἀθλοφόρον αὐτοῦ
πίστει μακαρίζοντες,
ἀνδρειοφρόνως
ἀγωνισάμενον
καὶ τοῦ ἐχθροῦ τὸ φρύαγμα
καταπαλαίσαντα
καὶ τῆς νίκης
ἄνωθεν τὸν στέφανον
ἐκ χειρὸς τοῦ Χριστοῦ κομισάμενον.

Ἤχθης πρὸς μονὰς
τὰς ἄνω γηθόμενος,
μάρτυς Θεόδωρε·
ἔφθασας τὰ τάγματα
τῶν || ἀσωμάτων,
ὡς μετὰ σώματος
τοὺς ἀσωμάτους δαίμονας
στερρῶς τρεψάμενος
καὶ πρεσβεύεις
πίστει τοὺς τιμῶντάς σε
ὀφλημάτων λαβεῖν ἀπολύτρωσιν.

230 ἐν] τῇ H 233 τοῦ om. Lo 234 ἀφλέκτως Mh 238-248 troparium om. H 240 τῶν ἀθλοφόρων αὐτοῦ Lo 243 ἀγωνισάμενος Lo Mh 244 τῶν ἐχθρῶν Lo 246-248 vv. om. Ea 248 κομισάμενος Lo 249-259 Hii vv. primum troparium odes θ′ constituunt in H 249 μονὰς] ἡμᾶς Lo ὡς] ὢν H 256 δρεψάμενος Mh Ea 257-259 ὀφλημάτων / λαβεῖν τὴν ἀπόλαυσιν / καὶ τρυφῆς τὸν χειμάρρουν δρεψάμενος H

Θεοτ. Φώτισον, ἁγνή,
ψυχῆς μου τὰ ὄμματα,
θεογεννήτρια,
μή καταλαβέτω με
τῆς ἁμαρτίας
σκότος βαθύτατον,
μηδὲ βυθὸς καλύψῃ με
τῆς ἀπογνώσεως,
ἀλλ᾽ αὐτή με
σῶσον καὶ κυβέρνησον,
προστασία πιστῶν ἀκαταίσχυντε.

260 ἁγνή] ἀεὶ Do Vm 262 θεοχαρίτωτε H 265 [illegible]ρύτατον Lo Mh Ea H

20 *APRIL.*

CANON XXV

IN SANCTUM THEODORUM TRICHINAM

Synaxarium, 615-616: Οὗτος ἦν τῆς Κωνσταντινουπόλεως γέννημα καὶ θρέμμα· πλουσίων δὲ γονέων ὑπάρχων υἱὸς κατέλιπε γονεῖς, πλοῦτον καὶ δόξαν· καὶ ἀπελθὼν ἐν τῇ μονῇ τοῦ Τριχινᾶ γέγονε μοναχὸς καὶ πάσῃ κακουχίᾳ καὶ σκληραγωγίᾳ ἑαυτὸν ὑπέβαλλε καὶ κρύει καὶ παγετῷ πηγνύμενος, ὡς νεκρὸς φαίνεσθαι τοῖς πᾶσιν· δι' ὅλης γὰρ νυκτὸς καὶ ἡμέρας ἵστατο αἴθριος προσευχόμενος. Τριχίνοις καὶ ἁδροῖς ὑφάσμασι τὸ σαρκίον ἐκάλυπτε· ὅθεν καὶ Τριχινᾶς ἐκ τούτου μετωνομάσθη. Ἦν δὲ ἀνυπόδετος παντελῶς καὶ τὴν κεφαλὴν εἶχεν ἀπερικάλυπτον· διὰ τοῦτο καὶ τὴν τῶν δαιμόνων ἀπεγύμνου ἀπάτην, κατ' αὐτῶν λαβὼν ἐξουσίαν· καὶ πολλὰ θαύματα ἀπεργασάμενος πρὸς Κύριον μεθίσταται καὶ μύρον εὐῶδες ὁ τάφος αὐτοῦ ἀναπηγάζει πᾶσι τοῖς προστρέχουσι πόθῳ καὶ τὴν σωτηρίαν κομιζομένοις.

Crypt. Δ.α. XVII	= Ck,	ff. 190v-193
Crypt. Δ.α. VIII	= Do,	ff. 63v-66
Paris. gr. 1564	= Py,	ff. 43v-45v
Vat. gr. 2008	= Vm,	ff. 154v-156
Mess. gr. 121	= Mh,	ff. 116v-118v
Vallic. gr. E 54	= Ea,	ff. 210-212
Reg. gr. 32	= Lp,	ff. 29-31
Reg. gr. 61	= Lo,	ff. 86v-90
Paris. Coislin gr. 309	= H,	ff. 187-189v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Δῶρόν σε θεῖον εὐσεβῶς μέλπω, μάκαρ· ὁ Ἰωσήφ.

Ἦχος β'.

ᾠδὴ α'. *Ἐν βυθῷ κατέστρωσε ποτὲ*

Δωρεαῖς ἐνθέοις πλουτισθεὶς
δῶρον ὡς πολύτιμον

acr. om. Mh Lp H; nomen ὁ Ἰωσήφ om. Mh Ea Lp Lo ὁ om. in Ck Vm; ποίημα Ἰωσὴφ in Py ex acrostichide vero nomen fluit Ιωσηφφ
heirm. α' EE 34, n. 46, Joannis vv. 1-2 desunt in Lp 2 ὡς] ὃς Mh

τῷ ποιητῇ σαυτόν, πάτερ, προσήγαγες·
διό μου χαρίτωσον
τὴν διάνοιαν, εὐφημοῦντός σου σήμερον
μνήμην φωτοφόρον
καὶ τὴν πολιτείαν τὴν ἰσάγγελον.

Ὡς στεφθεὶς ταῖς θείαις καλλοναῖς
ἦρας ἐπὶ ὤμων σου
ἀσκητικῶς τὸν σὸν σταυρόν, Θεόδωρε,
καὶ κατηκολούθησας
τῷ ἑκούσιον διὰ σὲ ὑπομείναντι
σταύρωσιν, παμμάκαρ,
πάθη θανατώσας τὰ τοῦ σώματος.

Ῥωμαλέως, πάτερ, τῷ ἐχθρῷ
προσπαραταττόμενος
καὶ τοῦ σταυροῦ τῷ ὅπλῳ συμφραττόμενος,
τοῦτον ἐταπείνωσας
ταπεινούμενος καὶ σοφῶς ἀνυψούμενος·
ὅθεν νικηφόρος
ὤφθης καὶ ὁσίων ἰσοστάσιος.

θεοτ. Οἱ σωθέντες, κόρη, διὰ σοῦ
σὲ τὴν παναμώμητον
ἐν γυναιξὶ καὶ τοῦ Χριστοῦ λοχεύτριαν
ὕμνοις μακαρίζομεν

3 πάτερ σαυτὸν Py Lp πάτερ σαυτῷ H σῶτερ σαυτὸν Lo σαυτὸν] σὺν Ea προσήγαγες] προσέδραμες Mh 5 εὐφημοῦντος] εὐφημοῦ[illegible] Ck Do Vm Lp Lo εὐφημοῦντα Lp H εὐφημούντων Ea σου] σε H 6 μνή[illegible]ν τὴν φωσφόρον Py Lo H 8-14 vv. in H constituunt tertium troparium eiusdem odes 8 στεφθεὶς] τερφθεὶς Py Lo H ὤμον Mh 10 τὸν σὸν σταυρὸν ἀσκητικῶς Θεόδωρε Lo Θεόδωρε] μακάριε Mh Ea 12 τὸν H τὸ Lp Lo 13 σταύρωσιν] θάνατον Lo 15-21 troparium secundum odes α' in H 15 πάτερ] μάκαρ Mh Ea τὸν ἐχθρὸν Lo 16 προσπαραταξ[illegible]ος Ea 17 versus om. in Mh συνφραττόμενος Vm Lp Lo 18 τούτων Mh 19 καὶ σοφῶς ἀνυψούμενος] τὸν ἀρχέκακον δράκοντα H σοφῶς] σαφῶς Do Py Mh Lp Lo 21 ὁσίων] ἀγγέλων Do Vm 24 Χριστοῦ] Θεοῦ Do Py Vm Ea Lp Lo H λογχεύτριαν Lo

9 Joh. 19,17-18

καὶ τὸ « χαῖρέ » σοι τοῦ ἀγγέλου κραυγάζομεν·
χαῖρε, ἡ αἰτία
τῆς τῶν προπατέρων ἀναπλάσεως.

ᾠδὴ β΄. *Ἴδετε, ἴδετε,*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Νοῦ καθαρότητι
κάλλος τὸ ἄρρητον
191 διηνεκῶς, ‖ θεόφρον,
ἐνοπτριζόμενος, κάλλη
κόσμου παρέδραμες
καὶ ταῖς θείαις μελέταις
θεούμενος ἀεί,
ἠθανατίσθης καὶ φωτὶ
νοητῷ κατηστράφθης,
τὰ ζοφερὰ τῶν παθῶν
μειώσας ἰνδάλματα.

Στόματι αἴνεσιν
φέρων ἀέναον
καὶ ἐν παντὶ ὁσίας
ἐπανατείνων σου χεῖρας
καὶ προσευχόμενος,
τὴν πικρὰν ἁμαρτίαν
ἐξέφυγες σαφῶς
καὶ τῆς σαρκὸς τὸ δυσμενὲς
καὶ ἐπίβουλον, πάτερ,
ἐξέκλινας ὡς Χριστοῦ
θεράπων, Θεόδωρε.

26 καὶ γεραίρομεν καὶ συγχρόνως κραυγάζομεν Py Lo H συμφώνως Py H καὶ τοῦ γαβριὴλ τὴν φωνὴν ἀνακράζομεν Lp σοι] σὺν Ea 28 προπατόρων Do Py Vm Ea Lp Lo H

oden β΄ om. Mh Ea Lo H heirm. β΄ EE 41, n. 55, Joannis 29 Νοῦ] σοῦ Lp 36 ἀθανατίσθης Lp 42 ὁσίους Do 47 δυσμενὲς] εὐμενὲς Py Lp

26 Luc. 1,28

Ἐπερειδόμενος
θείοις ὑψώμασι
τῆς ταπεινοφροσύνης,
τὸν ὑψηλόφρονα ὄφιν
καὶ ἀλαζόνα ἐχθρὸν
ἐταπείνωσας ὄντως
ἰσχύϊ θεϊκῇ
καὶ προσεχώρησας Θεοῦ
εἰς βασίλεια, πάτερ,
ὡς ἀριστεύσας καλῶς,
θεόφρον Θεόδωρε.

Θεοτ. Θεογεννήτρια,
κόρην σε πάναγνον
ὁ τῶν ὁσίων δῆμος
ἐπεγνωκώς, παναγία,
σοῦ τῆς λαμπρότητος
τῷ φωτὶ κατηστράφθη
καὶ νῦν ἐν οὐρανοῖς
σὲ λιτανεύει, τὸν ἐκ σοῦ
ἀνατείλαντα Λόγον
δοξάζων χαρμονικῶς,
Μαρία θεόνυμφε.

ᾠδὴ γ΄. *Ἐξήνθησεν ἡ ἔρημος ὡσεὶ κρίνον*

Ἐπτώχευσας μιμούμενος, θεοφόρε
ὅσιε,
τὴν δι' ἡμᾶς ἑκούσιον
τοῦ σωτῆρος ἄκραν ταπείνωσιν,
αἰωνίαν πλουτήσας
ἀγαλλίασιν.

62 θεογεννήτριαν Py Lp

heirm. γ΄ EE 34, n. 46, Joannis 73-78 om. in Py Lo H. Pro hoc tropario alterum invenimus in Py Lo H Ἐξήνθησας λειμῶνι τῆς ἐγκρατείας, / ὅσιε, / καθάπερ ῥόδον εὔοσμον / τὰς καρδίας εὐωδιάζων ἡμῶν / τῷ ἐνθέῳ σου βίῳ, παναοίδιμε. — (Ἐξήνθησας .... καὶ καρδίας κατευωδίασ<ας> / τῶν ἐν πίστει καὶ πόθῳ / εὐφημούντων σε H) 73 ἐπτώχευς (sic) Mh

76 Act. 8,33

Ἰσχύϊ δυναμούμενος τοῦ σωτῆρος,
ὥδευσας
εὐσθενεστάτως, ἔνδοξε,
τὴν τραχεῖαν καὶ στενοτάτην ὁδὸν
καὶ πρὸς πλάτος τῆς ἄνω
Σιὼν ἔφθασας.

Ὁρᾶταί σου ὁ τάφος εὐῶδες μύρον
χάριτι
ἀναπηγάζων, ὅσιε,
καὶ κηρύττει Θεοῦ γενόμενον
εὐωδίαν σε, πάτερ
ἱερώτατε.

τ. Νυμφὼν ἀθανασίας ἡ σὴ κοιλία
γέγονεν,
ἐξ ἧς νυμφίος κύριος
ἀναλάμψας, παρθένε ἄχραντε,
τῶν ὁσίων τοὺς δήμους
ἐπεσπάσατο.

•

ᾠδὴ δ'. *Ἐλήλυθας*
ἐκ παρθένου οὐ πρέσβυς οὐκ ἄγγελος

Ἐγκρατείας
ταῖς εὐτόνοις πληγαῖς κατεμάστιξας
91v || τῶν παθῶν τὴν Αἴγυπτον
καὶ καθηγήσω, Θεόδωρε,
γῆν πρὸς τὴν οὐράνιον
καταφυτεύσας τοὺς πίστει
ἑπομένους σοι.

79-84 troparium om. H 80 ἔνδοξε Lo 81 εὐσθενεστάτην Mh Ea ἔνδοξε] ὥδευσας Lo ὅσιε Py 88 γενόμενος Ea γινόμενον Py 95 τῶν] καὶ H
Post oden γ' κάθ. invenimus in Py, inc.: Τῇ θείᾳ λαμπρότητι καταυγαζόμενος . . . MR II, 205
heirm. δ' EE 34, n. 46, Joannis 100 καὶ om. Ea καθηγιάσω Ea 101 ποίμνης πρὸς οὐράνια Do Vm ποίμνης πρὸς οὐράνιον Mh Ea τὴν πρὸς τὴν οὐράνιον H 102-103 τῶν εὐσεβῶς καὶ ὁσίως/ἑπομένων σοι Py Lp Lo H ὁσίων Lo σε H

84 Cfr. Ps. 49,2-4 99 Gen. 12,50-51, 13,3

Ὑφάσμασιν
ἀρετῶν ἐξειργάσω, Θεόδωρε,
σαυτῷ περιδέξιον
καὶ καθαρώτατον ἔνδυμα,
ὅπερ ἐνδυσάμενος
εἰς τὸν νυμφῶνα τὸν ἄνω
εἰσελήλυθας.

Στυγνότητι
σκυθρωπάζων ἐτέλεις, Θεόδωρε,
τριχίνοις ὑφάσμασιν
σοῦ τὸ σαρκίον σκεπόμενος·
ὅθεν σοι ἀνέτειλεν
ἡ νοητὴ εὐφροσύνη
θείῳ πνεύματι.

θεοτ. * Ἐν ὥρᾳ με
φοβερᾷ, παναγία, κρινόμενον
καὶ σῶσον καὶ λύτρωσαι
καὶ τῆς γεέννης ἐξάρπασον,
ὅπως μακαρίζω σε
καὶ καταχρέως γεραίρω,
παναμώμητε.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Βίον ἰσάγγελον
ἀναλαβὼν ἐπὶ τῆς γῆς,
ὅσιε,
ἀσκητικῶς
πάσῃ κακουχίᾳ

104 Ὑφάσματα Py 105 ἐξειργάσω] ἐν καρδίᾳ Lo 106-112 versus om. in Mh 106 σαυτὸν Py Lp H σαυτὸ Ea 109 ἄνω] θεῖον Lo 113-116 καὶ σῶσον καὶ λύτρωσαι / καὶ τῆς γεέννης ἐξάρπασον / ὅπως μακαρίζω σε / τὴν νοητὴν εὐφροσύνην Lo 118-124 θεοτ. ETh 175 120 καὶ σῶσον] σῶσον με H 123 γεραίρω] δοξάζω Vm
heirm. ε' EE 38, n. 51, Cosmae 126 ἐπὶ τῆς γῆς ἀναλαβὼν H 129 πᾶσαν κακουχίαν Ck Mh Ea πᾶσι κακουχίᾳ Lp

119-121 Matth. 23,33

ἐνέκρωσας παθῶν
τὰς ἐπαναστάσεις,
ϑεόφρον Θεόδωρε.

Ὥραν τῆς κρίσεως
κατανοῶν διηνεκῶς,
ἤλασας
ἀπὸ ψυχῆς
ὕπνον ῥαθυμίας,
ὀρθρίζων πρὸς Θεὸν
καὶ τῇ πρὸς τὸ ϑεῖον
στοργῇ καλλυνόμενος.

Στέργων τὰς ἄνω μονὰς
ὡς μοναστὴς ἀληθινός,
ἤγειρας
ἐπὶ τῆς γῆς
μονὰς μοναζόντων,
ἐν αἷς οἱ διὰ σοῦ
καταφυτευθέντες
τιμῶσί σε, ὅσιε.

ϑεοτ. Μόνη ἐκύησας
τὴν ἐνυπόστατον ζωήν,
ἄχραντε,
τὸν ποιητὴν
πάντων καὶ δεσπότην,
ὃν στέργουσα πληθὺς
πατέρων ὁσίων,
ὁσίως ἐβίωσεν.

ᾠδὴ ς΄. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἐλλαμφθεὶς ϑεωρίαις ταῖς κρείττοσιν,
πάντων τὴν ψυχὴν τῶν γηΐνων ἐγύμνωσας
καὶ τῷ Θεῷ ἐσχόλασας
ἀνενδότοις μελέταις, Θεόδωρε.

135 ὅσιε H 139 τῆς Ea Lo τὸ ϑεῖον] αὐτόν σου H 140 στοργῆς Lo 148 τιμῶμέν σε ὅσιε Lo 153 καὶ δεσπότην πάντων Lp 156 ἐβίωσας Do Lp H heirm. ς΄ EE 34, n. 46, Joannis 159 ἐσχόλας H

Λαμπροτάτου σου βίου λαμπρότησιν
ἡ ὑπ' οὐρανὸν κατελάμφθη, μακάριε,
ἀνατολῆς ἡλίου σε
φεγγοβόλον ἀστέρα κηρύττουσα.

Παγετῷ καὶ τῷ κρύει πηγνύμενος,
f. 192 ταῖς πρὸς τὸν Θεὸν ‖ κατεθάλπου συννεύσεσιν
καὶ τὸν κρυμὸν ἐμείωσας
τῶν παθῶν ϑείᾳ ϑέρμῃ, μακάριε.

ϑεοτ. Ὡς καλήν, ὡς ὡραίαν φανεῖσάν σε,
Λόγος ὁ ὡραῖος ἠγάπησεν, ἄχραντε,
καὶ σοῦ τὴν μήτραν ᾤκησεν
εἰς ἡμῶν τῶν πιστῶν ἀπολύτρωσιν.

Κάθισμα.
Ἦχος δ΄. *Ταχὺ προκατάλαβε*

Νηστείαις καὶ δάκρυσιν,
πάτερ, σχολάσας, σοφέ,
τὴν σάρκα ἐσταύρωσας
καὶ τῶν παθῶν τὰς ὁρμὰς
τελείως ἠφάνισας,
χάριν δὲ ἐκομίσω τοῦ ἰᾶσθαι τὰς νόσους
πίστει τῶν προσιόντων
σοῦ τῇ λάρνακι, μάκαρ·
διὸ καὶ νῦν ἱκέτευε Χριστὸν
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἄλλο.
Ἦχος δ΄. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Ὡς καθαρὸς τῷ καθαρῷ προσπελάσας
διὰ συντόνου προσευχῆς καὶ ἁγνείας
....

161 λαμπροτάτῳ σου βίῳ Lp λαμπρότητι Vm φαιδρότησιν Lo 162 κατηλάμφθη Lo 165-168 troparium om. H 165 καὶ τῷ] τε καὶ Do Vm 168 μακάριε] Θεόδωρε Py Lp Lo 171 μήτραν] μνήμην H 172 ἀπολύτρωσιν] ἀνυμνούντων σε Mh

κάθ. om. Do Vm Mh Ea Lp Lo H heirm. κάθ. HR, 63 2 σοφέ] σαφῶς Py 9 Χριστὸν om. Py

κάθ. ἄλλο MR IV, 342 Hoc κάθ. post odam γ' praebent Lo H, in cdd. Vm Ea canoni praeponitur, idemque om. Py Mh Lp

ᾠδὴ ζ′. *Ἀντίθεον πρόσταγμα*

Μυρίπνοος γέγονας
τῶν ἀρετῶν σου
συνθέσει, Θεόδωρε,
καὶ μύρον εὐωδέστατον
λειψάνων τιμίων σου
ἀναπηγάζεις ἡμῖν
πίστει τῶν τιμώντων σε, ψυχὰς
καὶ τὰς καρδίας μυρίζον, ὅσιε.

Ἀρνίον ὡς ἄκακον
ἐντεθραμμένον
ἀσκήσεως, ὅσιε,
τῇ χλόῃ, κατεσκήνωσας
πρὸς μάνδραν οὐράνιον
τῷ ἀρχιποίμενι
Λόγῳ συνευφραίνεσθαι· διὸ
τῶν σῶν θρεμμάτων ἀεὶ μνημόνευε.

Κρουνοῖς τῶν δακρύων σου
ἀποτεφρώσας
βραζούσας τοῦ σώματος
καμίνους, ἱερώτατε,
πυρὶ θείου πνεύματος
ἀναφλεγόμενος,
λύχνος ἐγρηγόρσεως καὶ φῶς
τοῖς ἐν τῷ σκότει, πάτερ, γεγένησαι.

Αἰνίττεται βάτος σε
σπαργανουμένη
πυρί, παναμώμητε,

heirm. ζ′ EE 34, n. 46, Joannis   173 Μυρίπνοος] πυρίπνοος Mh Ea Lp H μυρίπνος Lo   174 ταῖς ἀρεταῖς σου Ck   175 συνθέσει] συνέσει Lp Lo συνθέσις (sic) Mh   178 ἀναπηγάζων Py   182 ἐντεθραμμένος Py Lo   187 διὸ] ἐν ᾗ Do Vm   189-196 troparium om. H   191 βραζούσαις Ea   195 λύγχνος Lo λύχνον Lp   196 τῷ om. Mh γεγένησαι] γενόμενος Ck γεγύμνωσαι Ea

197-200 Cfr. Ex. 3,2-3

μηδόλως φλεγομένη δέ·
f. 192v τὸ πῦρ γὰρ ‖ ἐβάστασας
τὸ τῆς θεότητος
ἄφλεκτον τηρῆσάν σε, ἁγνή,
καὶ μετὰ τόκον παρθένον ἄφθορον.

ᾠδὴ η′. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ῥύπον ἀπέπλυνας ψυχῆς
τῶν δακρύων ὀχετοῖς καὶ τὸν χειμάρρουν
τῆς τρυφῆς ἐκληρώσω
καὶ τῶν πραέων τὴν γῆν
ὡς πρᾶος,
ὅσιε, καὶ ἄκακος
καὶ δικαιοσύνῃ
σαφῶς κεκοσμημένος.

Οἰκειοτάταις πρὸς Θεὸν
ἀναβάσεσιν ἀεὶ πεπυρσευμένος,
ἀπροσκόπτως διέβης
τοὺς ἐμπαθεῖς λογισμοὺς
καὶ πάντα
ζόφον τὸν τοῦ σώματος
καὶ πρὸς φῶς μετῆλθες
τῆς ἀπαθείας, πάτερ.

Ἵνα τῷ ὄντως ἐφετῷ
προσπελάσῃς, ἐγκρατὴς καὶ ταπεινόφρων
καὶ μακρόθυμος ὤφθης,
τριχίνοις ῥάκεσι δὲ
ἀπαύστως
σκεπόμενος, ἔνδοξε,

203 τηρήσας Lo ἁγνὴν Lo   204 ἄφθορον] ἀφθ[illegible]τον Lp
heirm. η′ EE 35, n. 47, Joannis   205 ῥύπον] τύπον Lo   206 ὀχετοὺς Mh Ea   211 δικαιοσύνην Lp Lo δικαιοσύνης Ea   214 ἀναβάσεσιν] ἀνανεύσεσιν Py Mh Ea Lo H   215 ἀπροσκόπους Mh ἀπροσκ[illegible]ς Lp ἀπροσκόπως H 221-228 troparium om. H   221 ἐφετὸν Lo   222 πρασπελ[illegible]ς Mh Lo ἐγκρατεὶς Ea 224-228 καὶ συμπαθὴς ἀληθῶς / τριχίνοις / ῥάκεσιν σκεπόμενος / καὶ τὴν τῶν δαιμόνων / ἀπογυμνῶν ἀπάτην Py Lp Lo   226 ῥάκεσι σκεπόμενος Py

214 Cfr. Ps. 83,6.

σὺ τὰς τῶν δαιμόνων
ἀπογυμνοῖς ἀπάτας.

Ὡραιωθεῖσα καλλοναῖς
ἀρετῶν καὶ κροσσωτοῖς πεποικιλμένη
διαχρύσοις, παρθένε,
τὸν ὑπὲρ πάντας βροτοὺς
ὡραῖον
Λόγον ἀπεκύησας,
ὃν καθικετεύειν
ὑπὲρ ἡμῶν μὴ παύσῃ.

ᾠδὴ θ'. *Ἀνάρχου γεννήτορος*

Σταυρώσας τὰς σάρκας σου
τῷ φόβῳ τοῦ δεσπότου σου,
ἐνεκρώθης τῷ κόσμῳ,
πάτερ Θεόδωρε·
καὶ νῦν μεταβέβηκας χαίρων
πρὸς τὴν ζωὴν
τῶν ζώντων, παμμάκαρ,
μεθέξει θεούμενος
καὶ φωτὸς ἀεὶ πληρούμενος.

Ἡμέραν ἑόρτιον
καὶ πλήρη ἁγιάσματος
σοῦ τὴν ἔνθεον μνήμην
τελοῦμεν σήμερον·
σὺ γὰρ καὶ φωτὸς καὶ ἡμέρας

227 σὺ τὰς] πάσας Do Vm καὶ τὴν Py 228 ἀπεγύμνοις Ck ἀπογυμνοῖς ἀπάταις Ea ἀπάτας ἀπεγύμνοις Do Vm συντρίβον πανουργίαν Py 230 πεποικιλμένην Lo 231 διαχρύσως Lo 233 ὡραίως H 235-236 ὃν ὑμνεῖ ὁσίων / πληθὺς εἰς τοὺς αἰῶνας Py Lp Lo ὃν ὑπερυψοῦμεν / εἰς πάντας τοὺς αἰῶνας Mh Ea
heirm. θ' EE 35, n. 46, Joannis · 237-245 ut secundum troparium ostendit H 238 δεσπότου] κυρίου H 246-254 troparium om. H 247 πλήρης cdd. 248 σοῦ τὴν μνήμην θεόφρον Py 249 τελοῦντες Lo

230-231 Ps. 44,14

ὡς ἀληθῶς
υἱὸς ἀνεδείχθης
καὶ φῶς τὸ ἀνέσπερον
κατοικεῖς ἀγαλλιώμενος.

Φωστὴρ διαυγέστατε,
Θεοῦ δώρων ἐπώνυμε,
θεοπύρσευτε λύχνε
τῆς ἀνεσπέρου αὐγῆς,
ἡ τῶν ἀρετῶν μυροθήκη,
ὁ ἀκλινὴς
πύργος μοναζόντων,
f. 193 τὴν || ποίμνην σου λύτρωσαι
ταῖς εὐχαῖς σου πάσης θλίψεως.

θεοτ. Φωτὸς οἰκητήριον
ἡ μήτρα σου γεγένηται
τοῦ φωτίσαντος κόσμον
αὐγαῖς θεότητος,
πύλη τοῦ ἡλίου τῆς δόξης
ἐν γυναιξὶν
κεχαριτωμένη,
ὁσίων τὸ καύχημα,
παναγία ὑπερένδοξε.

255-263 ut primum troparium in H ostenditur 255 διαυγέστατος Ck Mh Ea 256 ἐπώνυμον Py Mh Lo ἐπώνυμος Ea 257 θεοπύρσευτον Ck λύγχνε Lo στῦλε Py 258 αὐγῆς] ζωῆς H 259 μυροθήκη] αὐγασθεῖσα Lo 260 καὶ φωτισμοῦ Lo 261 χαρᾶς ἀξιῶσαι Lo 270 καὶ χαριτωμένη Do Mh 271 τὸ] τε Mh 272 ὑπερένδοξε] ὑπερθαύμαστε Py Lp Lo μητροπάρθενε H ὑπεράγαθε Do

IN SANCTUM GEORGIUM

Synaxarium, 623-626: Οὗτος ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας μάρτυς Γεώργιος ἦν κατὰ τοὺς χρόνους Διοκλητιανοῦ τοῦ βασιλέως, ἐκ χώρας τῆς Καππαδοκῶν.... Τοῦ οὖν βασιλέως κατὰ τῶν χριστιανῶν ὠδίνοντος πόλεμον καὶ ....., αὐτὸς παρὼν ὁ ἅγιος χριστιανὸν ἑαυτὸν ἀνεκήρυξε, τὴν τῶν εἰδώλων ματαιότητα καὶ ἀσθένειαν διελέγχων καὶ μυκτηρίζων τοὺς πιστεύοντας ἐπ' αὐτοῖς. Ἐπεὶ δὲ οὔτε κολακείαις οὔτε ὑποσχέσεσι τοῦ τυράννου, ἃς πολλὰς ἐποιεῖτο, ἐπεστρέφετο ἀλλὰ δῆλος ἦν πάντων ὑπερορῶν, πρῶτον μὲν κοντῷ κατὰ τῆς γαστρὸς διελαύνεται· τοῦ δὲ τῆς μὲν σαρκὸς ἀψαμένου ..... διέμεινεν ὁ ἅγιος ἀβλαβής· εἶτα ἐν τροχῷ ἀκμαῖς σιδήρων διηρμοσμένῳ δεθείς, κατὰ πρανοῦς τοῦ πεδίου ἀφίεται, καὶ τὸ σῶμα εἰς πολλὰ μερισθεὶς αὖθις ὑγιὴς καθίσταται θείου ἀγγέλου ἐπιστασίᾳ ..... Προσῆλθε δὲ τῷ Χριστῷ καὶ ἡ βασίλισσα Ἀλεξάνδρα καὶ τοῦ τυράννου ἐνώπιον Θεὸν εἶναι αὐτὸν ὡμολόγησεν. Ἐπίστευσαν δὲ καὶ ἕτεροι πολλοὶ τῷ Χριστῷ, ἀβλαβῆ τὸν ἅγιον μάρτυρα ἐξελθόντα μετὰ τρεῖς ἡμέρας ἐκ τοῦ λάκκου τῆς ἀσβέστου ἰδόντες..... Μετὰ ταῦτα κρηπῖσι σιδηροῦς ἥλους ἐχούσαις τοὺς πόδας ἁρμόζεται καὶ τρέχειν καταναγκάζεται, καὶ προσέτι ξηροῖς νεύροις βοῶν τύπτεται ἀφειδῶς. Ἐπιζητήσαντος δὲ τοῦ Μαγνεντίου σημεῖον, εἰ ἀνασταίη τις τῶν κειμένων ἐν τῇ φαινομένῃ σορῷ τῶν πρὸ πολλοῦ τὸν βίον λιπόντων, εὐξαμένου τοῦ ἁγίου, προῆλθέ τις ἀρθέντος τοῦ ἐπὶ τὸν τάφον καλύμματος καὶ τὸν ἅγιον προσεκύνησε, καὶ ἐδόξασε τὴν θεότητα τοῦ Χριστοῦ. ..... Ἐφ' ᾧ πολλῶν εἰς τὸν Χριστὸν πιστευσάντων ἀεὶ προστιθεμένων τῇ πίστει, ἐν οἷς ἦν καὶ Γλυκέριος, οὗ τὸν βοῦν τελευτήσαντα ὁ ἅγιος ἤγειρε· ..... Πολλῶν οὖν ἐπὶ τούτοις τῷ Χριστῷ προσερχομένων καὶ ἔτι διὰ τὸ τὸν ἅγιον μάρτυρα Γεώργιον εἰσελθόντα ἐν τῷ ναῷ τῶν εἰδώλων ἑνὶ τῶν ξοάνων εἰπεῖν προστάξαι, εἰ αὐτὸ εἴη θεὸς καὶ αὐτῷ δεῖ προσκυνεῖν· τὸν δὲ ἐν αὐτῷ δαίμονα ἀνολοφυράμενον ἀποκρίνασθαι, ὡς μόνος ἐστὶ Θεὸς ὁ Χριστός· καὶ ἐν τούτῳ ταραχθέντα πάντα τὰ εἴδωλα καταπεσεῖν καὶ συντριβῆναι· ..... Τοῦ δὲ βασιλέως προστάξαντος αὐτόν τε καὶ τὴν βασίλισσαν Ἀλεξάνδραν διὰ ξίφους ἀναιρεθῆναι, ὁ μὲν ἅγιος τὴν κεφαλὴν ἀπετμήθη· ..... Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Crypt. Δ.α. XVII	= Ck,	ff. 209-215ᵛ
Crypt. Δ.α. VIII	= Do,	ff. 77ᵛ-85
Vat. gr. 2008	= Vm,	ff. 160-162ᵛ
Mess. gr. 136	= Mf,	ff. 127ᵛ-135ᵛ
Reg. gr. 61	= Lo,	ff. 91-92
Vat. gr. 1212	= Wh,	ff. 154ᵛ-159ᵛ
Paris. Coislin gr. 309	= H,	ff. 198-204

Ὁ κανών· ποίημα Ἀνδρέου.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

* Ἀγαλλιάσθω ἡ κτίσις
πνευματικῶς σήμερον,
τῇ ἀναστάσει γὰρ Χριστοῦ
τοῦ ἀθλοφόρου ἡ ἔνδοξος
συνανατέλλει πανήγυρις,
ἅπαντα
χαροποιοῦσα μυστικῶς
τῆς γῆς τὰ πέρατα.

* Ἐαρινὴν πανδαισίαν
ὡς ἱερὰν τράπεζαν
ὁ στεφανίτης τοῦ Χριστοῦ
μετὰ τὴν ἔνδοξον ἔγερσιν
τοῦ ζωοδότου προέθηκεν
σήμερον
πᾶσι πιστοῖς θεοπρεπῶς
ἄθλους τῶν πόνων αὐτοῦ.

* Τῷ θυρεῷ τῆς ἐλπίδος
θωρακισθεὶς ἄνωθεν,
μάρτυς Γεώργιε σοφέ,
ἀθλητικῶς κατεπάλαισας
μετὰ σαρκὸς τὸν ἀσώματον,

tit. Ἕτερος κανὼν τοῦ ἁγίου Γεωργίου..... in ff. 204-215ᵛ tres canones continet Ck: primus: Θερμοτάτῃ πίστει καὶ στοργῇ ... MR IV, 370-378, secundus: Ἄθλων ἱερῶν ἀνύσας δρόμον ... BZ 14 (1905) 520 Lo, aliquibus exscissis foliis, mutilum tradit hunc canonem usque ad versum 12; et Wh, mutilus, versibus 49-178 caret. Carmen, quamquam inclusum in descriptione, typis pervulgata, huius operis, quod ANAL. HYMN. nuncupatur (Akten XI. Int. Byz. Kongresses 1958, München, 1960, p. 552), editum est a GRAZIELLA PAOLINI, in: *Un Theotocarion Marciano* del sec. XIV a cura di ENRICA FOLLIERI, Roma 1961. Sed editio sane 25 tropariis caret et in nonnullis lectionibus discrepat (Cfr. S. G. MERCATI, Byzantion 32, 1962, pp. 311-312).

heirm. α' ΕΕ 106, n. 149, Andreae Troparia vv. 1-16 om. H
16 ἄθλοις Vm 19 σοφέ] πιστῶς H

στέφανον
παρὰ Χριστοῦ ὡς νικητὴς
ἀναδησάμενος.

9v * ‖ Ὁ ἐν σταδίῳ γενναῖος
καὶ ἐν δεσμοῖς πρόθυμος
καὶ ἐν βασάνοις κραταιός,
ὁ στεφανίτης Γεώργιος
τὴν οἰκουμένην προτρέπεται
σήμερον
πανηγυρίσαι μυστικῶς
ἐπὶ τῇ μνήμῃ αὐτοῦ.

* Οὐκ ἐδειλίασας, μάρτυς,
τὴν τῶν ἐχθρῶν ἔνστασιν,
οὐ τὰς ἀθέους ἀπειλάς,
πρὸς αἰκισμοὺς οὐκ ἐνάρκησας
καὶ πρὸς σφαγὴν ηὐτομόλησας·
ἔσπευδες
γὰρ ἀναλῦσαι πρὸς Θεὸν
τὸν στεφανοῦντά σε.

* Καταλιπὼν τὰ ἐν κόσμῳ
καὶ τὰ ἐκ γῆς φύοντα,
στεφανηφόρε ἀθλητά,
πρὸς τὴν Σιὼν μεταβέβηκας
τὴν νοητὴν καὶ πολύφωτον,
ἄμωμος
θυσία ζῶσα λογικὴ
προσενεχθεὶς τῷ Θεῷ.

* Θεομακάριστε μάρτυς,
ἀθλητικὸν ἄγαλμα
καὶ στήλη ἔμπνους ἀθλητῶν,

25 Ὁ] Ἡ Mf om. H 33-56 troparia om. Mf H 40 τὸν στεφανώσαντά σε Wh

44 Ps. 9,12; 131,13

χριστιανῶν ἐγκαλλώπισμα,
τῆς καρτερίας ὑπόδειγμα,
πρέσβευε
πρὸς τὸν Θεὸν ὑπὲρ ἡμῶν
τῶν ἀνυμνούντων σε.

Ὑπὲρ τῶν πίστει τελούντων
τὴν ἱερὰν μνήμην σου,
μάρτυς Γεώργιε σοφέ,
Χριστὸν τὸν κύριον αἴτησαι
ὡς παρρησίαν εὑράμενος
ἐκ πειρασμῶν
καὶ πάσης ἄλλης συμφορᾶς
ἀπαλλαγῆναι ἡμᾶς.

τριαδ. * Πάτερ Θεὲ παντοκράτορ,
υἱὲ Θεοῦ ἄναρχε,
ὁ ἐν τοῖς κόλποις τοῦ πατρός,
πνεῦμα πανάγιον ἄχρονον,
τὸ ἐκ πατρὸς πορευόμενον,
μένον δὲ
ἐν τῷ υἱῷ ὡς συμφυές,
τριάς, ἐλέησόν με.

θεοτ. * Χαῖρε, σκηνὴ παναγία,
ἐν ᾗ Θεὸς ἄσαρκος
κατ' εὐδοκίαν πατρικὴν
κατασκηνώσας ἐν πνεύματι,
κυοφορεῖται καὶ πλάττεται
ἄνθρωπος,
δίχα φθορᾶς, ἄνευ τροπῆς
ἐκ σοῦ γεννᾶται, ἁγνή.

57-64 troparium om. Do Vm Mf H 65-72 τρ[illegible] om. H, qui, contra, hoc aliud praebet: Τὴν ἐν μονάδι τριάδα / Χερουβικῶς [illegible]αντες / ὑμνολογοῦντες, οἱ πιστοί, / ὡς ἐν τρισὶν ὑποστάσεσιν / καὶ ἐν μιᾷ τῇ θεότητι, / ἄναρχον καὶ συναΐδιον, / αὐτὴν ὑμνολογήσωμεν. 74 ᾗ Mf ἄσαρκος] ἄναρχος H 77 κυοφορεῖ τε καὶ Mf 79 ἄνευ σπορᾶς δίχα τροπῆς H φθορᾶς] σπορᾶς Ck Mf 80 φρικτῶς ἐκ σοῦ προελθὼν H γεννᾶται, ἁγνή] φρικτῶς προελθὼν Do Vm

ᾠδὴ β΄. *Δῶμεν μεγαλωσύνην*

* Σήμερον συγκαλεῖται
ἡ παγκόσμιος ἀνάστασις
τοῦ ἀθλοφόρου καὶ στεφανίτου·
πνευματικῶς ἑορτάσωμεν, πιστοί.

* Κόσμον καὶ τὰ ἐν κόσμῳ
ἀπεδύσω, γενναιότατε,
πρὸς τὸ βραβεῖον τῆς ἄνω δόξης
ἀποσκοπῶν δι' ἐλπίδος ἀκλινοῦς.

* || Αἵματι μαρτυρίου
τὴν ζωὴν τὴν ἀκατάλυτον,
μάρτυς, ὠνήσω, ἐπὶ τὸ σκάμμα
τοὺς αἰκισμοὺς ὑπομείνας καρτερῶς.

* Οὐκ ἔρρηξε τὸ σκάφος
τῆς ψυχῆς σου ἡ ἐπίκλυσις
τῶν πολυτρόπων βασάνων, μάρτυς·
Χριστὸς γὰρ ἦν κυβερνώμενος αὐτό.

* Πέτραν ἄσειστον ἔχων
τὸν θεμέλιον τῆς πίστεως,
ταῖς τρικυμίαις τῶν ἀντιπάλων
οὐκ ἐσαλεύθης, Γεώργιε σοφέ.

« Οὐδεὶς ἡμᾶς χωρίσῃ
τῆς ἀγάπης τοῦ Χριστοῦ ἡμῶν,
οὐ πῦρ, οὐ ξίφος » ἐβόας, μάρτυς,
« οὐ διωγμός, οὐ λιμός, οὐκ αἰκισμός ».

Oden β΄ om. Mf H   heirm. β΄ EE 94, n. 133, Joannis   83 ἐπὶ τῇ μνήμῃ τοῦ ἀθλοφόρου Do Vm   84 ἑορτάσωμεν, πιστοί] εὐφρανθῆναι τοὺς πιστοὺς Do Vm   86 ἀπεδύσω] ἀπηρνήσω Do Vm   89-96 troparia om. Vm   100 σοφέ] πιστέ Do Vm   101-120 troparia om. Do Vm

87 Filip. 3,14

« Χριστῷ καὶ συσταυροῦμαι,
Χριστῷ πάλιν συνανίσταμαι »,
ἔκραζες, μάρτυς, πρὸς τοὺς τυράννους,
« καὶ σὺν αὐτῷ δοξασθήσομαι ἀεί ».

« Ξεέσθωσαν αἱ σάρκες,
τῆς ψυχῆς γὰρ οὐκ ἐλάβετε
τὴν ἐξουσίαν », ἐβόας, μάρτυς,
ὡς κοινωνὸς τοῦ θανάτου τοῦ Χριστοῦ.

« Συσταυροῦταί μοι κόσμος
καὶ τῷ κόσμῳ συνεσταύρωμαι
διὰ βασάνων », ἐβόας, μάρτυς,
ὡς κοινωνὸς τοῦ θανάτου τοῦ Χριστοῦ.

θεοτ. Τὴν ἄχραντον μητέρα
τοῦ Θεοῦ ἀνευφημήσωμεν
ὡς σωτηρίαν ἡμῖν τεκοῦσαν·
ἀνεκαινίσθη τὸ γένος τῶν βροτῶν.

Εἱρμὸς ἄλλος

Ἴδετε, ἴδετε,
ὅτι ἐγώ εἰμι Θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

* Ἴδετε, ἴδετε,
ὅτι ἐγώ εἰμι Θεός,
ὁ τῷ σταυρῷ πᾶσαν καθελὼν
τὴν τοῦ ἐχθροῦ δυναστείαν
πρεσβείαις τῶν μαρτύρων
καὶ καταλύσας εἰδώλων τὴν πλάνην
καὶ βωμοὺς τῶν θυσιῶν καταβαλών.

119 τεκοῦσα cdd.
heirm. β΄ ἄλλος EE 105, n. 148, Andreae   124 δυναστείαν] τυραννίδα Do Vm

121-122 Deut. 32,39

* Σοὶ συσταυρούμενος
ὁ μεγαλόφρων ἀθλητής,
τὴν τῶν ἐχθρῶν πλάνην συμπατεῖ
καὶ τοὺς ναοὺς τῶν εἰδώλων
τῇ πίστει καταλύσας,
καὶ στεφανοῦται νομίμως ἀθλήσας
καὶ χορεύει σὺν ἀγγέλοις, Ἰησοῦ.

* Τίς μὴ θαυμάσειε,
μεγαλομάρτυς ἀθλητά,
ὅτι γυμνός, ἄοπλος ἑστώς,
τοῦ ἀοράτου καθεῖλες
10v ἐχθροῦ ‖ τὴν δυναστείαν
καὶ τῶν δαιμόνων πατήσας τὰ θράση,
νικηφόρος ἀνεδείχθης τοῦ Χριστοῦ;

* Θώρακα πίστεως
καὶ θυρεὸν ἀναλαβὼν
ὁ ἀθλητὴς οὗτος τοῦ Χριστοῦ
τὴν τοῦ σταυροῦ πανοπλίαν,
ὡς δόκιμος ὁπλίτης·
ἀθλητικῶς συνεπλάκη τῷ πλάνῳ
καὶ καθεῖλε τῶν ἐχθρῶν τὰς προσβολάς.

* Κύριε, κύριε,
ὁ συναθλήσας νοητῶς
τῷ ἀθλητῇ μέσον τῶν δεινῶν
καὶ στεφανώσας νομίμως
νικήσαντα τὴν πλάνην,
τοὺς οἰκτιρμούς σου παράσχου τῷ κόσμῳ·
δι᾿ αὐτοῦ σε δυσωποῦμεν, ἀγαθέ.

* Δόξα καὶ καύχημα
τῶν ἀθλοφόρων σου, Χριστέ,

132 καταλύει Do Vm 142-148 troparium om. Vm 145 τῇ τοῦ σταυροῦ πανοπλίᾳ Ck 149-155 troparium om. Vm 151 μέσων Do

142-143 Eph. 6,14-16

ὁ νοητὸς στέφανος αὐτῶν,
τὸ ἀγαλλίαμα πάντων
τῶν σοὶ πεπιστευκότων,
ὁ θησαυρὸς τῆς μελλούσης ἐλπίδος,
τὸν λαόν σου διαφύλαξον, σωτήρ.

τριαδ. Ἴδετε, ἴδετε,
ὅτι ἐγώ εἰμι Θεός,
ὁ ἐκ πατρὸς λάμψας υἱός,
ὁ ἀπαθῶς καὶ ἀρρεύστως
ἐκ πνεύματος ἁγίου
ἐν τῇ γαστρὶ τῆς παρθένου σκηνώσας
καὶ τεχθεὶς μετὰ σαρκὸς δίχα φθορᾶς.

θεοτ. * Χαῖρε, παράδεισε,
ἐν ᾧ τὸ ξύλον τῆς ζωῆς·
χαῖρε, πηγὴ βρύουσα τὸ φῶς·
χαῖρε, τὸ ἅγιον ὄρος,
ὃ εἶδεν ὁ προφήτης,
ἐξ οὗ ὁ λίθος ἐτμήθη, ἡ πέτρα
ἡ προχέουσα πταισμάτων ἱλασμόν.

ᾠδὴ γ΄. *Μὴ καυχάσθω ὁ καυχώμενος*

* Ἡ πανέορτος ἀνάστασις
τοῦ ζωοδότου φαιδρῶς ἡμῖν σήμερον
ἀθλητικὴν πανήγυριν
παρεσκευάσατο,
ἐν ᾗ πάντες δεῦτε, πιστοί,
ἑορτάσωμεν καὶ συγχορεύσωμεν.

162 σωτήρ] ἀεί Do Vm 163-169 τριαδ. om. Do Vm, qui autem hoc aliud praebent: Πάντες ὑμνοῦμέν σε, / τριάς, ἀμέριστε μονάς, / ζωοποιὸν / ἄναρχον Θεόν, / τὸν ἐν τρισὶ τοῖς προσώποις, / μιᾷ δὲ τῇ οὐσίᾳ / ὑμνολογούμενον πάσῃ τῇ κτίσει / ἀγεννήτως, γεννητῶς, ἐκπορευτῶς 170-176 Do hoc θεοτ. praefert: Χαῖρε ἀείζωον / ῥεῖθρον τῆς πίστεως ἡμῶν, / χαῖρε σκηνὴ ἔμψυχε Θεοῦ, / χαῖρε τὸ ἅγιον ἅρμα, / ἐν ᾧ ὁ βασιλεύς μου / ὡς ἐπὶ θρόνῳ ἐπέβη κενώσας / ἑαυτὸν ὑπὲρ ἐμοῦ δίχα τροπῆς.
heirm. γ΄ EE 109, n. 152, Andreae 177-182 troparium om. H 181 δεῦτε πάντες Mf Wh

173-175 Dan. 2,34; 45

* Εὐφημείσθω νῦν Γεώργιος
ὅτι καθεῖλεν ἐχθροῦ τὴν ἀπόνοιαν,
τὸ τῆς σαρκὸς χιτώνιον
ἀπεκδυσάμενος
καὶ ἀνδρείως τρέψας αὐτὸν
καὶ τὸν στέφανον ἀναδησάμενος.

* Ἐγκαυχάσθω ἐπὶ κύριον
ὁ ἀθλοφόρος· Χριστοῦ γὰρ τὴν δύναμιν
ἀθλητικῶς ὡς θώρακα
περιζωσάμενος,
τὸν ἀόρατον ὡς ὁρῶν
ἐκαρτέρησε διὰ τῆς πίστεως.

f. 211 * ‖ Τοῦ κυρίου τὰ παθήματα
ἐν τῇ σαρκί σου, τρισμάκαρ Γεώργιε,
ὡς πανοπλίαν ἔμψυχον
θωρακισάμενος,
εἰς οὐδὲν τὸ πῦρ τῶν ἐχθρῶν
οὐ τὰς μάστιγας ἡγήσω, μάρτυς Χριστοῦ.

* Ῥωμαλέῳ τῷ φρονήματι
ἀντεκατέστης, τρισμάκαρ Γεώργιε,
τῷ τοῦ ἀέρος ἄρχοντι
διὰ τῆς πίστεως,
τὰς πικρὰς βασάνους αὐτοῦ
μέχρις αἵματος μὴ δειλιάσας, σοφέ.

* Ἐν θαλάσσαις ἐφιστάμενος
καὶ ἐν ἐρήμοις καὶ νήσοις καὶ πόλεσι
θαυματουργῶν, Γεώργιε,
ταῖς ἱκεσίαις σου
καὶ τὴν ζάλην τῶν θλιβερῶν
ἀπωθούμενος, πᾶσι γαλήνην ποιεῖς.

183-184 troparia om. H 194 ἐκαρτέρησε] ἐτροπώσατο Do Vm τῆς πίστεως] τὴν ὄντως ζωὴν Mf 195-206 troparia om. Mf 201-206 troparium om. Mf Wh 201 Ῥωμαλέῳ τῷ] ρωμαλεότητι H 107-212 troparium om. Mf H 209 θαυματουργεῖς Do Vm θαυματουργὲ Wh 212 ποιεῖς] πιστοῖς Ck

191-192 Eph. 6,14

* Ὡς τῷ κτίστῃ καὶ Θεῷ ἡμῶν
μετὰ ἀγγέλων, τρισμάκαρ Γεώργιε,
παρεστηκώς, μνημόνευε
ταῖς ἱκεσίαις σου
τῆς μονῆς ⟨σου⟩ ταύτης ἀεί,
συντηρῶν αὐτὴν ἐκ πάσης θλίψεως.

τριαδ. * Τὴν τριάδα προσκυνήσωμεν
τὴν ἐν μονάδι θεότητος ἅπαντες
καὶ σὺν ἀγγέλοις ᾄσμασι
θεολογήσωμεν
ἀδιαίρετον, συμφυῆ,
τρισυπόστατον καὶ συναΐδιον.

τριαδ. Τὸν πατέρα προσκυνήσωμεν,
υἱὸν καὶ πνεῦμα, τριάδα ἀμέριστον,
χερουβικῶς δοξάζοντες,
ἅγιος ἅγιος
ἅγιος εἶ ὁ Θεός,
τρισυπόστατον καὶ ὁμοούσιον.

θεοτ. Θεοτόκε ὑπερένδοξε,
ἐν τῇ γαστρί σου ἀφράστως χωρήσασα
τὸν ἐκ πατρὸς ἐκλάμψαντα
υἱὸν συνάναρχον,
ἐκτενῶς ἱκέτευε
τοῦ ῥυσθῆναί σου τὴν μάνδραν ταύτην φθορᾶς.

213-218 troparium om. Mf 213 τὸν κτίστην καὶ θεὸν H 214 μετ' H 216 τῶν ἐκτελούντων σε H 217 τὴν σεπτήν, σοφέ, ἑορτὴν H τῆς μονῆς om. Wh σου ipse metri causa scripsi 218 αὐτὴν ἐκ πάσης θλίψεως] ἡμᾶς ἀτρώτους πάσης ὀργῆς H 219-224 τριαδ. om. Mf H. Aliud praebet Mf: Ἀδιαίρετον θεότητα, / ἄναρχον φύσιν, / ὁμότιμον σύνθρονον / τριάδα ὁμοούσιον / καὶ ὁμοδύναμον / προσκυνήσωμεν, οἱ πιστοί, / σὺν πατρὶ υἱὸν καὶ πνεῦμα ἅμα 224 συναΐδιον] ὁμοούσιον Do Vm 225-230 τριαδ. om. Do Vm Mf Wh H 231-236 θεοτ. om. Do Vm Wh 232 ἐν τῇ] ἡ ἐν Mf H 233 ἐκλάμψαντα] ἀχώρητον H 234 συνάναρχον] ἐκλάμψαντα H ἀμέριστον Mf 236 μάνδραν] πόλιν H ποίμνην Mf

228-229 Apoc. 4,8

* Τὴν θεόδεκτον γαστέρα σου,
παρθενομῆτορ, Χριστὸς ὁ Θεὸς ἡμῶν
ἐνανθρωπήσας ἔδειξε
καὶ μετὰ γέννησιν
ἀδιάφθορον, ὥσπερ ἦν,
καὶ ἡγίασε καὶ ὑπερύψωσεν.

ᾠδὴ δ'. *'Ακήκοεν ὁ προφήτης*

* Χριστὸς ἀνέστη ἐκ τάφου
καὶ ἔπλησε τὰ σύμπαντα φωτοχυσίαις,
συνεξέλαμψε δὲ σήμερον
ἡ παροῦσα
11v || μνήμη τοῦ στερροῦ ἀθλητοῦ,
λαμπρὰν ἑορτὴν
τῷ κόσμῳ μηνύουσα.

* 'Η ὑπερκόσμιος αὕτη
ἀνάστασις φαιδρύνουσα τὴν οἰκουμένην,
συνεφαίδρυνε τὴν ἔνδοξον
τοῦ ἁγίου
μνήμην συνεκλάμψασαν
ἀκτῖσι φωτὸς
τῆς αὐτοῦ θεότητος.

* 'Αόπλως, μάρτυς κυρίου,
ἐπάτησας τὸν δράκοντα τὸν ἀποστάτην
καὶ εἰς γῆν αὐτὸν κατέπτωσας,

237-242 θεοτ. om. Mf H   239 ἔδειξε] ἔνδοξε Ck
Post oden γ' Do κοντάκ. ostendit: Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης ... HR, 190. Idem κοντάκ. post odem ϛ' praebet H, qui et κάθ. adiungit: Εὐσεβείας τοῖς τρόποις .... MR IV, 371. Idem κάθ. post odem ϛ' praebet Mf et post oden γ' H
heirm. δ' in TR, 66.   Troparia hoc ordine praebet Wh: I. II. III. IV. V. VI. VIII. IX. VII. X. (XI.) XII.   243-249 troparium om. H   244 ἔπλησε] ἐπλήρωσε Mf   250-256 troparium om. H   259 κατέπτωσας] κατέρραξας Do Vm H κατέβαλες Mf

258 Job 26,13

τῇ δυνάμει
μόνῃ τοῦ κυρίου σου
ὡς ὅπλοις αὐτῷ
χρησάμενος, ἔνδοξε.

* 'Εξέπληξας πᾶσαν κτίσιν,
Γεώργιε, τοῖς ἄθλοις σου ἐγκαρτερήσας
καὶ ὡς ἄσαρκος ἐν σώματι
τὰς βασάνους
ὅλως οὐκ ἐνάρκησας,
οὐ θῆρας, οὐ πῦρ,
οὐ ξίφη γυμνούμενα.

* Τῷ αἵματί σου, τρισμάκαρ,
τὸ βάπτισμα τὸ ἅγιον ἐπισφραγίσας,
τιμιώτερον ἀπέδειξας·
τῷ πυρὶ γὰρ
οὕτω προσωμίλησας,
καθάπερ χρυσὸς
ὤφθης δοκιμώτατος.

* Οὐκ ἄνθεσιν, οὐδὲ ῥόδοις
ἐπλέξατό σοι στέφανον ὁ βασιλεύς σου,
ἀλλ' ἐν αἵματι κατέχρωσε
τῆς σαρκός σου,
μάρτυς, τὸ διάδημα,
τὰ στίγματά σοι
ὡς λίθους τιμίους ἐνθείς.

'Εξανέστησαν ἡγεμόνες
καὶ τύραννοι ὁρῶντές σου τὴν καρτερίαν·
τοὺς τροχοὺς γὰρ οὐκ ἐνάρκησας,
οὐ τὰ ξίφη·

262 ὡς ὅπλον αὐτὴν Mf αὐτῇ Wh H   264 'Εκπλή[illegible]ς πᾶσαν τὴν κτίσιν H   266-270 in margine folii in Vm exarati sunt   266 ὡ[illegible]ρ ἄσαρκος ἐν σώματι Mf H   267 τῇ ἐλπίδι H   268 ἐνάρκισας] ἐμάκρινας Mf   269 τὸ πῦρ τῶν ἐχθρῶν H   270 οὐ θῆρας οὐ ξίφη ὁρῶν H   271-276 troparium om. Mf H   276 καθάπερ] καὶ ὥσπερ Do Vm   277-284 troparium om. Vm Mf H   283 σου Do   285-291 troparium om. Do Vm Mf H

πῦρ οὐκ ἐδειλίασας,
οὐ σάρκας ὁρῶν
ξεομένας τότε τὰς σάς.

* Εὐφραίνεσθε καὶ σκιρτᾶτε·
ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν παρὰ κυρίου·
διό, μάρτυρες ἀήττητοι,
τὸν σωτῆρα
πᾶσιν ἱλεώσασθε
τοῖς πίστει ὑμῶν
τὴν μνήμην τιμῶσιν ἀεί.

* Τὴν μάνδραν ταύτην ἐκ ζάλης
λυτρούμενος, πανεύφημε μάρτυς κυρίου,
ἐν εἰρήνῃ διατήρησον
ταῖς εὐχαῖς σου,
παύων τῶν ἐχθρῶν ἀπειλὰς
καὶ σῴζων αὐτὴν
κινδύνων καὶ θλίψεων.

τριαδ. * || Ὡς φῶς καὶ φῶτα δοξάζω
καὶ ἅγιον καὶ ἅγια σὲ τὴν τριάδα
ἑνιαίως συναστράπτουσαν
τῇ οὐσίᾳ·
εἷς γὰρ ἐν τριάδι Θεὸς
καὶ τρία καὶ ἕν,
τριὰς ἡ αὐτὴ καὶ Θεός.

289 οὐδὲ τὰς βασάνους αὐτῶν Wh 291 τότε τὰς σάς] ἔνδοξε Wh Post v. 291 in Wh sequitur troparium: Ἀνδρείᾳ πίστις συνῆλθε / καὶ φρόνησις συνέδραμε δικαιοσύνῃ / καὶ βραβεῖα σοὶ συνέπλεκε / τοῖς ἀγῶσιν, / οἷς σὲ ἐστεφάνωσε / Χριστὸς ὁ Θεός, / παμμάκαρ Γεώργιε. 292-298 troparium om. Mf H 292 Εὐφράνθητε Wh 293 παρὰ κυρίου] εὐτρεπισμένος Do Vm ηὐτρεπισμένος Wh 294 προσφωνεῖ ὑμῖν ὁ κύριος Do Vm Wh 295 ἀθλοφόροι Do Vm Wh 296 δεῦτε στεφανώθητε Do Vm Wh 297 ἰδοὺ ἡ τρυφὴ Do Vm Wh 298 ἰδοὺ ὁ παράδεισος Do Vm Wh 299-305 troparium om. Mf H 300 πανεύφημε μάρτυς κυρίου] σωτὴρ ὑμῶν ταῖς ἱκεσίαις Do Vm Wh 301-305 τῶν ἁγίων ἀθλοφόρων σου / ἐν εἰρήνῃ / ταύτην διατήρησον / καὶ σῶσον ἡμᾶς / ὡς μόνος φιλάνθρωπος Do Vm Wh διατήρησον] διαφύλαξον Do 306-312 τριαδ. om. Mf H, qui autem hoc alterum praebent: Πατὴρ υἱὸς καὶ τὸ πνεῦμα / τριάς ἐστιν ἀσύγχυτος, ἡ ἐν μονάδι / τρισυπόστατος γὰρ ἕνωσις / καὶ οὐσία / πᾶσι προσκυνεῖται πιστοῖς, / ἀμέριστον φῶς, συνάναρχον σύνθρονον. υἱὸς] υἱὲ H πιστοῖς] πιστῶς H 312 Θεός] μονὰς Do Vm

τριαδ. Δοξάσωμεν τὴν τριάδα
τὴν ἄκτιστον καὶ ἄναρχον μίαν οὐσίαν·
δι' αὐτῆς γὰρ ἐδιδάχθημεν
ὀρθοδόξως
σέβειν σὺν πατρὶ τὸν υἱὸν
καὶ πνεῦμα εὐθές,
ἄναρχον καὶ σύνθρονον.

θεοτ. * Ἐν σοὶ τὸ μέγα ἐπράχθη
μυστήριον, πανάμωμε, τῆς σωτηρίας
θεωθέντος τοῦ προσλήμματος
ἐν γαστρί σου·
ὅθεν ἐμορφώθη ἐκ σοῦ,
παρθένε ἁγνή,
Θεὸς τὸ ἀνθρώπινον.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

* Τὰ ἄνθη ἀναθάλλουσα
τῆς τοῦ Χριστοῦ ἐγέρσεως,
μαρτυρικῶς τὰ κρίνα φέρουσα
μυρίζοντα τοῖς ἄθλοις
τὸν πιστὸν λαὸν αὐτοῦ
καὶ εὐωδιάζοντα
ἡ ἐκκλησία συγκαλεῖ.

* Χριστὸς τὸ ἔαρ σήμερον
μαρτυρικῶς προτίθεται
καὶ τοῖς γενναίοις ἀθλοφόροις
τὸ στάδιον ἀνοίγων,

313-319 τριαδ. om. Do Vm Mf Wh H 322-3[illegible] ἐν γαστρί σου γὰρ ἐσκήνωσεν, / θεοτόκε, Λόγος ζῶν ἀΐδιος, / ὁ πάντων Θεός, / [illegible]νάμενος ἄνθρωπος Mf H γενάμενος] γενόμενος H 324 ὅθεν] ὅτε Do Vm

heirm. ε' EE 106, n. 149, Andreae 327-333 troparium om. H 327 Τῷ ἄνθει ἀναθάλλουσιν Mf 328 τῆς τοῦ] τῆς τῆς Mf 329 μαρτυρικῶς τὰ] μαρτυρικά τε Do Vm μαρτυρικὰ Wh φέροντα Mf φέροντες [illegible] 333 κόσμον θαυμάτων ταῖς πνοαῖς Mf Wh 334-340 troparium om. H 337 ἀνοίγων] ἀνοίξας Do Vm

τὰ βραβεῖα δείκνυσι
καὶ τῆς ἀναλύσεως
προϋπισχνεῖται τὴν ζωήν.

* Ἐν σοὶ θαρρῶν ὁ μάρτυς σου,
Χριστέ, τὴν νίκην ἔλαβεν·
καταφρονήσας τῶν προσκαίρων
ὡς φύσει φθειρομένων,
τὴν ζωὴν τὴν μέλλουσαν
κατεκληρονόμησεν
διὰ βασάνων ἀλγεινῶν.

* Ἐν σοὶ τὸ κράτος, κύριε,
ὁ μάρτυς ἔχων, ἔλεγεν
ὅτι « οὐκ ἄξια ὑπάρχει
τὰ παθήματα ταῦτα
πρὸς τὰ ἐλπιζόμενα
τῆς ἡτοιμασμένης μοι
βασιλείας οὐρανῶν ».

* Σταυρὸν λαβὼν ὡς θώρακα
καὶ θυρεὸν τῆς πίστεως,
ἀθλητικῶς ὁ μάρτυς, κύριε,
ἐξῆλθε πρὸς τὴν πάλην
τοῦ δολίου δράκοντος
καὶ καταβαλὼν αὐτόν,
τὸ νῖκος ἦρε κατ' αὐτοῦ.

339 καὶ τῆς ἄνω κλήσεως Do Vm Mf Wh   340 ὑπισχνεῖται Do Vm   342 Χριστέ] ἐν σοὶ Wh   343 καταφρονήσας] ὑπεριδὼν γὰρ Do καταφρονήσας τῶν] ὑπὲρ ἡμῶν γὰρ τῶν Mf   τῶν προσκαίρων] πάσης κτίσεως H   344 φθαρτῆς τε καὶ προσκαίρου H   347 ἐν φωτὶ τῶν ἐκλεκτῶν H   348-354 troparium om. H Wh   350 ἄξιον Vm   ὑπάρχει] σωτήρ μου Do Vm   354 οὐρανῶν] παρὰ σοῦ Do   355-361 troparium om. Mf   355-357 Σταυρὸν θωρακισάμενος / ὁ ἀθλητής σου, κύριε, / τὸν θυρεόν τε τὸν τῆς πίστεως Wh   358 πάλιν Vm   360 καὶ νικήσας ἔλαβε Do Vm καὶ νικήσας ἔτυχεν H   361 τὸ βραβεῖον παρὰ σοῦ Do Vm τῶν στεφάνων ὑπὸ σοῦ H

339 II Tim. 4,6   356 Eph. 6,16

* Τὴν μάνδραν ταύτην φύλαξον
πρεσβείαις τῶν ἁγίων σου
καὶ ἐκ φθορᾶς κινδύνων ῥῦσαι·
f. 212v τὴν σὴν ‖ γὰρ ὁπλισθεῖσα
συμμαχίαν, δέσποτα,
νοητῶς τροποῦται νῦν
τοῦ ἀρχεκάκου τὰς βουλάς.

Ταῖς εὐπροσδέκτοις, κύριε,
πρεσβείαις τοῦ ἐνδόξου σου
καὶ παναρίστου Γεωργίου
τῷ κόσμῳ σου εἰρήνην
καὶ ἡμῖν τὴν ἄφεσιν
τῶν δεινῶν ὡς εὔσπλαγχνος
νῦν κατάπεμψον, Χριστέ.

τριαδ. Πατέρα προσκυνοῦμέν σε,
Θεὸν τὸν παντοκράτορα
καὶ ἐκ Θεοῦ Θεὸν ὑμνοῦμεν
τὸν ἄχρονον υἱόν σου
καὶ τὸ θεῖον πνεῦμά σου
συνθεολογούμενον,
ὅτι Θεὸς εἷς ἡ τριάς.

τριαδ. * Τριὰς ἁγία δόξα σοι,
μονὰς ἡ τρισυπόστατος,
ἡ ὁμοούσιος οὐσία,
ἣν ἄγγελοι ὑμνοῦσι,
Χερουβὶμ δοξάζουσι
καὶ ἡ κτίσις ἅπασα
δοξολογεῖ ἕνα Θεόν.

θεοτ. * Τὸ πῦρ ἀφλέκτως τέτοκας,
ἁγνή, τὸ τῆς θεότητος·

362-368 troparium om. Mf H   362 φύλαττε Do Vm   **369-375 troparium om. Do Vm Mf Wh H**   **376-382 τριαδ. om. Do Vm Mf H**   **381 συνθεολογοῦμεν σοι Wh**   383-389 τριαδ om. Wh   **385 ὁμοούσιος] ὁμοδύναμος Do Vm Mf**   389 δοξολογεῖ ἕνα] μεγαλύνει ὡς H   **390-396 θεοτ. deest in Do H**

καὶ γὰρ Μωσῇ προεγνωρίσθη
τὸ ὅραμα τῆς βάτου,
τυπικῶς τὸν τόκον σου
προσημαῖνον, ἄχραντε
θεογεννῆτορ, ἐν Σινᾷ.

θεοτ. Τὴν ποίμνην ταύτην στήριξον
πρεσβείαις τῆς τεκούσης σε
καὶ ἐκ φθορᾶς κινδύνων ῥῦσαι·
ἐν σοὶ γὰρ ὁπλισθέντες
κατ' αὐτοῦ τροπούμεθα·
σὺ γὰρ εἶ Θεὸς ἡμῶν
καὶ νυμφίος καὶ ποιμήν.

ᾠδὴ ϛ'. *Ἐν πελάγει τοῦ βίου*

* Ἐκ νεκρῶν ἐξηγέρθη
Χριστὸς ὁ Θεός,
τριήμερος ὀφθεὶς
τοῖς ἀποστόλοις καὶ βοῶν χαρμονικῶς·
« ἐδόθη μοι πᾶσα
ἐν γῇ καὶ ἐν πόλεσιν
ἐξουσία,
ὦ μαθηταί μου ».

* Αἰκισμοῖς καὶ βασάνοις
πυρούμενόν σε,
κατέστεψε Χριστὸς
καὶ τὸ βραβεῖον ἐκομίσω παρ' αὐτοῦ

394 τοῦ τόκου σου Mf 397-403 θεοτ. om. Vm Mf Wh 397 ποίμνην] μάνδραν Do πόλιν H στήριξον] φύλαττε H 400 ὁπλισθεῖσα Do H 401 τὸν δόλιον τρέπεται Do ἐχθροὺς ἀποκρούεται H 402 σὺ γὰρεῖ] ὅτι σὺ H 403 καὶ ἐλπίζομεν εἰς σὲ H

heirm. ϛ' EE 106, n. 149, Andreae 404-411 troparium om. Mf Wh H 404 ἐξεγέρθη Vm 409 πόλεσι] πόλοιο Do Vm 414 κατέστεψε] ἐδόξασε Do Mf H 415 τὸ βραβεῖον] τοὺς στεφάνους Mf H ἐκομίσω] ἀνεδήσω Do H ἐκόμισεν Lo

392-396 Ex. 2,2-3 404-410 Matth. 28,16-18

καὶ πρεσβεύεις ἀπαύστως,
τρισμάκαρ Γεώργιε,
ἐκ φθορᾶς
ἡμᾶς λυτρωθῆναι.

* « Οὐδὲ πῦρ, οὐδὲ ξίφος
καθάπτεταί μου »
ἐβόας, ἀθλητά,
« τῇ γὰρ ἐλπίδι τεθωράκισμαι Χριστοῦ,
τὸν σταυρὸν δὲ ὡς δόρυ
βαστάζων ἀνθίσταμαι
ταῖς βολαῖς
τῆς ἀθέου πλάνης ».

f. 213 * ‖ Ἀνεδήσω τῆς νίκης
τὸν στέφανον σύ,
γενναῖε ἀθλητά,
καταρτισθέντα ὡς χρυσίῳ καθαρῷ
καὶ ὡς λίθοις τιμίοις,
τοῖς θείοις σου αἵμασιν
νοητῶς
κατεσκευασμένον.

* Τίς ὁρῶν οὐ θαυμάζει
τοὺς μώλωπάς σου,
γενναῖε ἀθλητά,
οὓς ὑπὲρ μόνου ἐκαρτέρησας Χριστοῦ,
παρ' οὗ καὶ τὰ βραβεῖα
τῆς νίκης ἀράμενος
ἐντρυφᾷς
αἰωνίου δόξης.

418 τῶν δεινῶν Mf H 419 λυτρωθῆναι πάντας ἡμᾶς Mf λυτρωθῆναι πάντας Do Lo λυτρωθῆναι κόσμον H 420-427 troparium om. Lo 420 οὐδὲ πῦρ, οὐδὲ] οὔτε πῦρ οὔτε H 424 δόρυ] δῶρον Wh 426 τῆς ἀθέου H 427 πλάνης ταῖς νιφάσιν H πλάνου Mf 428-435 troparium om. H 429 σου Do Lo Mf Wh 431 καθαρτισθέντα Mf om. Lo 435 κατασκευασμένος Lo 436 θαυμάσει Do Mf H 438 Γεώργιε σοφὲ H 443 αἰωνίου] ἀθανάτου H

῾Ως ἐντυχὼν τῆς ἀλήκτου
καὶ θείας δόξης,
Γεώργιε φαιδρέ,
τοὺς ἐκτελοῦντάς σου τὴν θείαν μνήμην
δυσώπει τὸν σωτῆρα
ῥυσθῆναι τῶν θλίψεων
καὶ ἐκ πάσης
τῆς ἐναντίων βλάβης.

κδ. * Τὸν πατέρα δοξάζω,
ὑμνῶ τὸν υἱόν,
τὸ πνεῦμα προσκυνῶ,
Θεὸν τὰ τρία ὑποστάσεσι τρισὶν
ἐν μιᾷ τῇ οὐσίᾳ,
ἀΐδιον, ἄκτιστον,
συμφυῆ
Θεὸν τὴν τριάδα.

οτ. * Κιβωτόν σε ἐκάλει
ὁ μέγας Δαυΐδ
καὶ πόκον Γεδεών,
ἐν ᾧ κατέβη ὁ Θεὸς ὡς ὑετός,
᾿Ησαΐας δὲ ῥάβδον
ἐκ ῥίζης βλαστήσασαν
᾿Ιεσσαὶ
τὸν Χριστόν, παρθένε.

444-451 troparium om. Do Vm Mf Lo Wh H Pro hoc, aliud praebent Do Vm: ῾Ως Δαυΐδ ἐν πολέμοις / τῷ νέῳ Δαυΐδ / συμμάχησον, Χριστέ, / καὶ ὥσπερ πάλαι ᾿Ιησοῦ τῷ τοῦ Ναυῒ / τῶν ἐχθρῶν τοὺς αὐχένας / ὑπόταξον, κύριε, / τῷ πιστῷ / βασιλεῖ ταῖς νίκαις. 452-459 τριαδ. om. Lo H 460 ἐκάλει] ἐλάλει H ἐκάλεσεν Lo 464 δὲ] σὲ Lo 467 ἁγνὴ θεοτόκε H τὸν Χριστὸν om. Lo

Post oden ϛ′ in Do sequuntur κοντάκια: ἦχος δ′ *«῾Ο ὑψωθεὶς ἐν τῷ σταυρῷ»*
᾿Εν τῇ δυνάμει σου, Χριστέ, . . . PAS I, 596.
Εὐχαριστήριον ᾠδὴν . . . PAS I, 596.
᾿Ιδοὺ πανήγυρις ἡμῖν . . . PAS I, 596.
῾Ρωμαλεότητι φρενῶν . . . PAS I, 596.
᾿Ιδὼν ὁ σύμβουλος εὐθὺς . . . PAS I, 597.
Τὸν ὑπὲρ κόσμου τῆς ζωῆς . . . MR IV, 374.
῾Υπὸ τοῦ πόθου τοῦ Χριστοῦ . . . PAS I, 597.

449 Ps. 33,18 460-461 Ps. 131,8 462-463 Iud. 6,37-40; Ps. 71,6 464-466 Is. 11,1

ᾠδὴ ζ′. *Εὐλογητὸς εἶ, Χριστέ,*
ὁ τοὺς ὁσίους σου παῖδας
ἐν Βαβυλῶνι
δροσίσας ἐν μέσῳ τῆς καμίνου τοῦ πυρὸς
καὶ δεδοξασμένος
εἰς τοὺς αἰῶνας.

* Εὐλογητὸς εἶ, Χριστέ,
ὁ δι᾿ ἡμᾶς ὑπομείνας
σταυρὸν καὶ πάθη,
ταφὴν καὶ ἔγερσιν παρέξας τοῖς θνητοῖς
καὶ ἀθανασίας
ἐλπίδας ἔχειν.

* Μάρτυς Χριστοῦ τοῦ Θεοῦ,
δι᾿ αἰκισμῶν καρτερίας
τῆς οὐρανίου
ἐγένου κλήσεως υἱὸς καὶ κοινωνὸς
καὶ συγκληρονόμος
εἰς τοὺς αἰῶνας.

* Κράτος τυράννου, σοφέ,
καταφρονήσας γενναίως,
τῇ τῆς τριάδος
σφενδόνῃ ἔτρεψας, τῷ ὅπλῳ τοῦ σταυροῦ
καταπολεμήσας,
ἐχθροῦ τὴν πλάνην.

* Ἔπαυσας θράση ἐχθρῶν
καὶ μηχανὰς τοῦ δολίου
τῇ καρτερίᾳ

heirm. ζ′ ineditus integer legitur in Ck Do Vm, sed in H troparia secundum subsequentem heirmum modulantur: Εὐλογητὸς εἶ, Χριστέ, / ἐν τῇ καμίνῳ οἱ παῖδες / ὁμολογοῦντες / πιστῶς ἐδροσίζοντο / εἰς τοὺς αἰῶνας heirm. alter in Mf, EE 105, n. 148, Andreae 468-473 troparium om. Mf Lo Wh H 471 καὶ θεῖαν ἔγερσιν παρέχων τοῖς θνητοῖς Do Vm 475 αἰκισμὸν Lo 476 τῆς om. Lo 477 κλήσεως ἄξιος ἐδείχθης κοινωνὸς Wh 480 κράτους Do Vm Lo τυράννων Mf Wh H 482 τῇ] καὶ Lo 483 τῷ ὅπλῳ τοῦ σταυροῦ] αὐτῶν τὰς προσβολὰς H 484 καὶ μηχανουργίας H 485 στερρῶς θεόφρον H πλάνην] πανοπλίαν Lo 486-491 troparium om. H 486 τῶν ἐχθρῶν Lo 487 καὶ] τὰς Lo

καὶ τῇ ἀνδρείᾳ σου, Γεώργιε πιστέ·
ὅθεν συναυλίζῃ
τοῖς ἄνω θρόνοις.

* Πᾶς ὁ χορός σε ὑμνεῖ
τῶν ἀπ' αἰῶνος μαρτύρων
13v ‖ ὡς νικητὴν
καὶ γενναῖον πρόμαχον τῆς πίστεως ἡμῶν,
συναγαλλιῶντες
σοί, ἀθλοφόρε.

Ταῖς ἱκεσίαις, Χριστέ,
τοῦ ἀθλητοῦ Γεωργίου
τῇ οἰκουμένῃ
εἰρήνην τὴν σὴν παρέχων ὡς Θεός,
σῶσον ὡς οἰκτίρμων
τοὺς σοὺς οἰκέτας.

Σὲ θυρεὸν νοητὸν
οἱ ἀθλοφόροι λαβόντες,
πρὸς τοὺς τυράννους
ἀντεπαρατάξαντο καὶ πρὸς τοὺς ἀρχηγοὺς
καὶ τοὺς κοσμοκράτορας
τοῦ κόσμου τούτου.

* Ταῖς ἱκεσίαις, Χριστέ,
τοῦ ἱεροῦ ἀθλοφόρου
τῇ ἐκκλησίᾳ
εἰρήνην δώρησαι, πηγάζων τοῖς πιστοῖς
τὴν ἀθανασίαν
εἰς τοὺς αἰῶνας.

ιαδ. * Δόξα πατρὶ καὶ υἱῷ,
δόξα καὶ πνεύματι θείῳ·

489 πιστέ] σοφὲ Lo 490 συναυλίζῃ] καὶ αὐλίζει Mf 491 Θεοῦ τοῖς ἄνω θρόνοις Lo **492-497 troparium om. Lo H** 493 μαρτύρων] κυρίου Wh 494 ὡς νικητήν σε Mf μαρτύρων μάρτυς Wh 495 καὶ γενναῖον πρόμαχον] ὡς νίκης πρόμαχος Wh 496 συναγαλλιοῦντες Ck Vm συναγαλλιοῦνται Do 497 ὡς ἀθλοφόρων Wh οἱ ἀθλοφόροι Mf **498-509 troparia om. Do Vm Mf Lo** **498-503 troparium om. Wh H** 506 τοὺς τυράννους] τὰς ἀρχὰς Wh H 509 Χριστέ, τοῦ σκότους Wh **510-515 troparium om. Mf Lo H** 512 ταῖς ἐκκλησίαις Wh 515 καὶ ἀφθαρσίαν Do Wh 516-521 τριαδ. om. Mf Lo H

μονὰς γάρ ἐστιν
τῇ φύσει ἄτμητος, ἀμέριστος ἀεί,
πάλιν δὲ προσώποις
μεριζομένη.

τριαδ. Εὐλογητὸς εἶ, Χριστέ,
ὁ ἐν μονάδι οὐσίας
καὶ ἐν τριάδι
προσώπων· σέβομεν ἐν πίστει ἀκλινεῖ
τὸν δεδοξασμένον
εἰς τοὺς αἰῶνας.

θεοτ. * Ὦ μακαρία γαστήρ,
ἡ τὸν οὐράνιον στάχυν
ἀγεωργήτως
καρποφορήσασα, ἐξ ἧς ὁ τῆς ζωῆς
ἄρτος ἐφυράθη,
Χριστοῦ τὸ σῶμα.

θεοτ. * Χαῖρε, ναὲ θεϊκέ,
χαῖρε, κατάσκιον ὄρος,
χαῖρε, λυχνία
χρυσῆ καὶ τράπεζα καὶ θεία κιβωτέ,
χαῖρε, παναγία
καὶ θεομῆτορ.

ᾠδὴ η΄. *Ἐν πυρὶ φλογὸς παρίστανται*

* Ἐκ νεκρῶν φθορᾶς ἐξήρπασας
τὸν γενάρχην, Χριστέ,

518 τῇ βασιλίδι Do Vm Wh **519 τριάδι πάντοτε μονὰς γὰρ ἡ τριὰς Do Vm Wh** 520 διακεκριμένως Do Vm διακεκριμένη Wh **521 καὶ ἡνωμένως Do Vm** καὶ ἡνωμένη Wh μεριζομένην Ck **522-527 τριαδ. om. Do Vm Lo Wh H** 522 Χριστέ] ὁ Θεὸς Mf 524 καὶ] ὃν Mf **528-533 θεοτ. om. Do Mf Lo H** 531 ἧς] οὗ Wh 534-539 θεοτ. om. Vm Wh **539 θεοκυῆτορ Do Lo θεογεννῆτορ Mf H**

heirm. η΄ EE 106, n. 149, Andreae EE. Ἐν φλογὶ πυρὸς **540-547 troparium om. Lo Wh H**

540-546 I Cor. 15,20-23

Εὔαν τε καὶ τοὺς ἁγίους,
κενεῶνας ὑπελθὼν
τοῦ Ἅιδου καὶ ἀνέστης
τριήμερος, τῷ κόσμῳ
ἀνάστασιν κηρύξας, σωτήρ,
καὶ θείαν βασιλείαν.

* Ὁπλισάμενος ὁ μάρτυς σου
τῷ σταυρῷ, Ἰησοῦ,
ἔκραζε γυμνὸς ἑστὼς
ἐπὶ σκάμματος θαρρῶν·
« οὐ κάμπτω μου τὸ γόνυ,
οὐ θύω τοῖς εἰδώλοις,
Χριστὸν τὸν μόνον δημιουργὸν
αὐτὸν καὶ μόνον σέβω ».

* « Εἰ καὶ μάστιγες καὶ θῆρές μοι
καὶ τὸ πῦρ καὶ τροχοὶ
πρόκεινται, ἀλλ' οὐκ ἀρνοῦμαι
τὸν σωτῆρά μου Χριστόν·
214 ξε||έσθωσαν αἱ σάρκες,
ῥαινέσθω καὶ τὸ αἷμα,
γενέσθω μου τὸ σῶμα
θυσία ζῶσα τῷ κυρίῳ ».

* « Μεμαστίγωμαι καὶ πέφυρμαι
τοῖς ἐμοῖς τῆς σαρκὸς
αἵμασιν ὑπὲρ τοῦ δόντος
ἑαυτὸν ὑπὲρ ἡμῶν,

542 τε] δὲ Ck ἁγίους] δικαίους Do Vm Mf 549 τὸν σταυρὸν Lo H 550 ἔλεγεν πρὸς τοὺς τυράννους H ἔκραζε] ἔλεγεν Lo 551 θαρσαλέῳ λογισμῷ H ἐπὶ τοῦ σκάμματος Mf Lo Wh θαρρῶν] πάσχων Lo 554 Χριστῷ καὶ μόνῳ δημιουργῷ H Χριστός μοι μόνος δημιουργὸς Lo 555 καὶ μόνον] τιμῶ καὶ Wh καὶ θύω καὶ λατρεύω H 556 καὶ θῆρες μοι καὶ μάστιγες Wh 557 καὶ om. Lo 558 ἀλλ' οὐκ ἀρνοῦμαι] ἀλλ' οὐκ ἐγὼ τὸν Χριστὸν Lo Wh ἀλλὰ τὸν μόνον H 559 ἀρνήσομαι ποτὲ Lo οὐκ ἀρνήσομαι Χριστὸν H ἀρνήσομαι φησὶ Wh 562 τὸ σῶμα μου γενέσθω H 563 ὥσπερ θυσία ζῶσα τῷ κυρίῳ Lo κυρίῳ] Θεῷ μου Do Vm Mf Θεῷ H 564-571 vv. desunt in Lo, diversum troparium legimus in H: Μεμαστίγωμαι τῷ σώματι / ἀφειδῶς καὶ Χριστοῦ / πόθῳ γὰρ πυροῦμαι μᾶλλον, / ἀνεβόας, ἀθλητά· / « οὐ θύω οὖν ἀψύχοις / εἰδώλοις καὶ ξοάνοις,/Θεός μοι οὗτός ἐστιν χαρά, / δι' ὃν ὁλοκαυτοῦμαι. » 567 ἡμῶν] ἐμοῦ Do Vm

ἀλλ' ἔτι ἀνακράζω·
οὐ θύω τοῖς ἀψύχοις,
Χριστός μοι μόνος ἔστω Θεός,
ᾧ καὶ ὁλοκαυτοῦμαι ».

* Ὡς ἀδάμαντι προσρήξας σοι
ὁ ἐχθρός, ἀθλητά,
βέβληται καὶ θρήνοις κάτω
πτῶμα κείμενος βοᾷ·
« ὁ πλήξας, οἴμοι, τίς μου
ῥομφαίᾳ τὴν καρδίαν;
οὐκέτι κοσμοκράτωρ ἐγώ,
οὐκ ἄρχω τοῦ ἀέρος ».

* Πανοπλίαν ἐνδυσάμενος
τὸν σταυρὸν τοῦ Χριστοῦ,
ἔτρεψας τὰς μεθοδείας
τοῦ ἐχθροῦ ὡς κραταιός·
διὸ καὶ ἀνεβόα·
« ἐπαύθη μου τὸ κράτος,
ἀλλ' εἴθε μή μοι συνεπλάκη
ὁ Ναζωραίου μάρτυς ».

* « Λίθοι ἄψυχοι καὶ ξόανα
οἱ Θεοὶ τῶν ἐχθρῶν »,
ἔλεγες πρὸς τοὺς τυράννους,
μάρτυς ἔνδοξε Χριστοῦ·
« οὐ θύω τοῖς ἀψύχοις,
οὐ κλίνω μου τὸ γόνυ,

572-579 troparium om. Lo H 576 οἴμοι τίς [illegible] ὁ πλήξας Mf Wh 577 καρδίαν] γαστέρα Mf Wh 579 ἄρχων Wh 5[illegible]87 troparium om. Mf H 581 τῷ σταυρῷ Wh 582 μεθοδίας πάσας Wh 583 μάρτυς πάσας τοῦ ἐχθροῦ Do Lo ἀθλοφόρε τοῦ Χριστοῦ Wh 584 ἀνε[illegible] Lo 586 ἀληθύς (sic) μοι συνεπλάκη μοι Lo συνεπλάκη μοι Wh 587 ναζωραι[illegible] Lo 588-595 troparium om. Mf Lo H 589 ἐχθρῶν] ἐθνῶν Wh [illegible]92 τοῖς] οὖν Wh 593 κλίνω] κάμπτω Wh

580-583 Eph. 6,10-13

ἑνὶ γὰρ μόνῳ ζῶντι Θεῷ
καὶ θύω καὶ λατρεύω ».

τριαδ. * Τρισυπόστατε ὁμόθρονε,
ἡ τριὰς καὶ μονὰς
δόξα σοι πατρί, υἱῷ τε
καὶ τῷ πνεύματι Θεοῦ
ἀνάρχῳ καὶ γεννήσει
καὶ πνεύματος προόδῳ,
ἐξ οὗπερ καὶ δι' οὗ καὶ ἐν ᾧ
τὰ πάντα προϋπέστη.

τριαδ. Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
τὸν προόντα Θεόν,
ἕνα σε ὡς ἐν τρισὶ
προσώποις σέβοντες ἀεὶ
τὸν ἄχρονον πατέρα,
υἱόν τε καὶ τὸ πνεῦμα,
τριάδα ἐν μονάδι
ἀδιαιρέτως ἡνωμένην.

θεοτ. * Θεοσφράγιστε ἀσύλητε
θησαυρὲ τῆς ζωῆς,
δέσποινα παρθένε, μήτηρ
τοῦ ἀπάτορος ἐκ σοῦ,
τὸ ποίμνιόν σου τοῦτο,
πατέρα μετὰ τέκνων
ἐκ πάσης τοῦ ἐχθροῦ προσβολῆς
καὶ ἐκ κινδύνων ῥῦσαι.

θεοτ. Χαῖρε, τεῖχος ἀκατάμαχον,
χαῖρε, θεῖε λιμὴν

Post v. 595 troparium praebet Wh: Συμπλακέντα σοι τὸν τύραννον, / ἀθλητὰ τοῦ Χριστοῦ, / ἔτρεψας διὸ καὶ κάτω / πτῶμα κείμενος βοᾷ· / οἴμοι πῶς κατεβλήθην, / οὐκ ἔτι μοι προσπαίξω / τοιούτοις στρατιώταις ποτέ, / οὐκ ἔτι προσπαλαίσω. 596-603 τριαδ. om. Mf Lo H 599 Θεοῦ] ὁμοῦ Do Vm 604-611 τριαδ. om. Do Vm Lo Wh H 606 ὡς ἐν τρισὶ] ὡς ἐν τρισὶ γὰρ Mf 611 διαιρετῶς καὶ Mf ἡνωμένη Ck 612-619 θεοτ. om. Lo H 614 παρθενομῆτορ Wh 615 τοῦ ἀσπόρου σου υἱοῦ Wh 617 πατέρα] μητέρα Mf 620-627 θεοτ. om. Do Vm Mf Wh 620 ἀκατάμαχον | ἀπροσμάχητον Lo H

ἄκλυστε καὶ προστασία
πάντων, ἄχραντε ἁγνή,
f. 214v ἡ ‖ ἔμψυχος νεφέλη,
ἡ στάμνος ἡ τοῦ μάννα,
ἡ πύλη καὶ λυχνία χρυσῆ
καὶ θρόνος τοῦ κυρίου.

ᾠδὴ θ'. *Μωυσῆς ἐν τῷ ὄρει*
ἄφλεκτον τὴν βάτον ἑώρακε,
Ἰωσὴφ ἐν σπηλαίῳ
ἄφθορον τὸν τόκον ἐθεάσατο·
ἀνύμφευτε μήτηρ,
ἀπείρανδρε παρθένε,
ὕμνοις τὸν τόκον σου μεγαλύνομεν.

Ἠγωνίσω προθύμως
τὸν καλὸν ἀγῶνα, Γεώργιε·
ὅθεν ἀπόκειταί σοι
τῆς δικαιοσύνης ὁ στέφανος,
τῆς ἀφθαρσίας,
ὥς φησιν ὁ Παῦλος
ἐκεῖνος ὁ θεσπέσιος.

Τὸν Ἰωσὴφ ἐζηλώσω
ἐν τῇ ἀκριβεῖ καρτερίᾳ σου,
τὸν Ἀβραὰμ ἐμιμήσω
τὸν Ἰσαὰκ προσενέγκοντα
πλήρως, τῷ κυρίῳ

625 ἡ τοῦ | τε τοῦ H 626 χρυσῆ om. Ck καὶ χρυσῆ H 627 θρόνε H Pars prima odes θ', idest vv. 628-662 om. in Do Vm Mf Lo Wh H heirm. θ' EE 103, n. 145, Joannis: numerus vero ultimi versus minime respondet illi stropharum odes 6 ἀλόχευτε κόρη EE 7 ὕμνοις σε, θεοτόκε, μεγαλύνομεν EE 638 προσενέγκαι Ck 639 πλήρης Ck Quas referimus strophas, diverso heirmo constructas obferunt Do Vm Wh: Εἱρμός: Ὅτι ἐποίησέ μοι / μεγαλεῖα ὁ δυνατὸς ... EE 106, n. [illegible], Andreae
* Ἐαρινὴν χορείαν
ἀνεγείραντες οἱ πιστοὶ
καὶ ᾄσμασιν ὡς ἄνθεσι τερπνοῖς

628-634 II Tim. 4,8 635-636 Gen. 37,28; 39,20 637-639 Gen. 22,9-10

εὐπρόσδεκτον θῦμα
δοὺς ἑαυτόν, Γεώργιε.

Εὐφροσύνης ἡμέρα,
δεῦτε σήμερον εὐφρανθῶμεν, πιστοί·
προσκαλεῖται γὰρ πάντας
ἡ ἔνδοξος μνήμη τοῦ μάρτυρος
τοῦ συναθροισθῆναι
καὶ εὐωχηθῆναι
καὶ λαμπρυνθῆναι φωτί.

Τοῦ παραδείσου τὰς πύλας
ὁ Χριστὸς ἀνέῳγεν, κράζων σοι·
« ταῖς ἀμοιβαῖς δὲ τῶν πόνων
δεῦρο λάβε στέφανον οὐράνιον,
τὸ γὰρ ὄνομά σου
δοξάσας, δοξάσω
δεῦρο εἰς τὴν ἀκήρατον ζωήν ».

θεοτ. Θεοτόκε παρθένε,
ἡ τὸν Λόγον συλλαβοῦσα ὑπὲρ λόγον γαστρί,
τὸν υἱόν σου δυσώπει
τοῦ εἰρηνεῦσαι τὰ σύμπαντα
καὶ ἐκ τῶν κινδύνων
ῥυσθῆναι τὸν κόσμον·
σὺ γὰρ εἶ σωτηρία ἡμῶν.

νοητῶς τὰς κεφαλὰς
καταστεψάμενοι, Χριστὸν
ὑμνολογήσωμεν.

* Πανηγυρίζω χαίρων
καὶ σκιρτῶ τῷ πνεύματι·
ἰδοὺ γὰρ ἡ ἀνάστασις Χριστοῦ
τὰ θεόφυτα ἄνθη,
τοὺς ἀθλοφόρους τοὺς στερροὺς
ἡμῖν ἐβλάστησεν.

* Συνεξανέτειλέ μοι
τῇ αὐτοῦ ἐγέρσει Χριστὸς
τὴν μνήμην τοῦ γενναίου ἀθλητοῦ
καὶ κατέλαμψε τὴν γῆν
τοῖς φαεινοῖς αὐτοῦ ἄθλοις
φῶς ὢν ἀπρόσιτον.

Εἱρμὸς ἄλλος
Σὲ ὡς χωρίον, ἄχραντε, τοῦ Λόγου

* Πάντα τὰ ἔθνη σήμερον σκιρτάτω,
ὅτι δέδωκε κύριος
κατὰ τοῦ ἐχθροῦ τὴν δυναστείαν τῷ μάρτυρι
νικᾶν τὰς προσβολὰς αὐτοῦ
καὶ στεφανοῦσθαι καὶ συνδοξάζεσθαι
τῷ βασιλεῖ καὶ πάντων Θεῷ
ἐν τῇ ἀγήρῳ ζωῇ.

f. 215 ‖ Οὐ ξίφος, οὐδὲ μάστιγας, οὐ θῆρας
ἐπτοήθης, Γεώργιε,
οὐ τὰς τῶν τυράννων ἀπειλάς, οὐ τὸ στάδιον·
Χριστὸν γὰρ εἶχες πρόμαχον
τὸν συνεργοῦντα καὶ συναθλοῦντά σοι,
πρὸς ὃν ἀπαύστως πρέσβευε
τοῦ σωθῆναι ἡμᾶς.

* Ἀξίως πᾶσα κτίσις ἀνυμνεῖ σε,
ὅτι πράως διήνυσας
τὴν διὰ βασάνων σου ὁδόν, μεγαλώνυμε·
διὸ νομίμως ἔφθασας
πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως,
ὡς κοινωνὸς ὀφθεὶς τοῦ Χριστοῦ
τοῖς παθήμασιν.

heirm. ἄλλος odes θ′ ΕΕ 105 n. 148, Andreae ἄχραντε] ἄχραντον ΕΕ In tropariis distribuendis discrepant inter se nonnulli codices additicii. Diversum troparium ordinem Do Mf Lo H praebent. 663-669 troparium om. Lo H 663 σκιρτάτω] κροτήτω Mf Wh 664 κύριος δέδωκε Do Vm 670-676 vv. om. Do Vm Wh H eosdem versus hoc quod sequitur substituunt tropario Do Vm Wh: Πυρός, θηρῶν, ξιφῶν τε καὶ μαστίγων / ὑπερεῖδες, Γεώργιε, / καὶ τὰς τῶν τυράννων ἀπειλὰς κατεγέλασας· / Χριστὸν γὰρ εἶχες πρόμαχον / καὶ συναθλοῦντα καὶ συνεργοῦντά σοι, / πρὸς ὃν ἀπαύστως πρέσβευε / τοῦ σωθῆναι ἡμᾶς (καὶ συνεργοῦντα καὶ συναθλοῦντά σοι Wh) 670 ξίφη Mf 672 οὐδὲ σταδίων Mf 673 ἔσχες Mf 674 τὸν συνεργοῦντα] καὶ συναλγοῦντα Mf 677-683 troparium om. Lo 679 μεγαλώνυμε] ἀγαλλόμενος H 680 διὸ τῆς ἄνω κλήσεως H 681 κατηξιώθης ἀξιοθαύμαστε H 682 ὤφθης H τοῦ om. Mf 683 [illegible]θεσιν H

* Ἀνδρείας θεῖον ἄγαλμα ὑπάρχων
καὶ φρονήσεως ἔσοπτρον
καὶ δικαιοσύνης ἀληθοῦς στήλη ἔμψυχος
καὶ ἔμπνους εἰκὼν γέγονας
τῆς σωφροσύνης, ἀξιοθαύμαστε·
διὸ ἀξίως πᾶσα ἡ γῆ
μακαρίζει σε.

* Ἐν γῇ καὶ ἐν θαλάσσῃ καὶ ἐν νήσοις
καὶ ἐρήμοις καὶ πόλεσι
καὶ τοῖς ἐν ἀνάγκαις καὶ κινδύνοις, Γεώργιε,
ὀξέως ἐφιστάμενος,
τὰς τρικυμίας τῶν περιστάσεων
εἰς σταθηρὰν γαλήνην αὐτοῖς
μεταφέρεις ἀεί.

* Ἐχθροῦ τὰ θράση πέπαυται, Χριστὸς γὰρ
τῷ νομίμως ἀθλήσαντι
τὸν τῆς ἀφθαρσίας ἀνεπλέξατο στέφανον·
χορεύσωμεν οὖν πάτρια
καὶ τὰ μνημόσυνα ἐκτελέσωμεν
ἀθλητικῶς τοῦ μάρτυρος
τοῦ ἀμώμου Θεοῦ.

* Σταυρὸν θωρακισάμενος ὡς δόρυ,
πρὸς παράταξιν ἔδραμες
κατὰ τοῦ ἀλάστορος ἐχθροῦ, μεγαλώνυμε,
τὴν νίκην δὲ ἀράμενος,
ἐστεφανώθης νομίμως, ἔνδοξε·
διὸ πρεσβεύοις νῦν πρὸς Θεὸν
τοῦ σωθῆναι ἡμᾶς.

684-690 troparium om. Vm Lo H 691-697 troparium om. Vm Mf H 691 ἐν νήσοις] κινδύνοις Do Wh 692 καὶ πικραῖς περιστάσεσι Do Wh 693 τοῖς ἀβοηθήτοις βοηθὸς ἐφιστάμενος Do τοῖς ἀβοηθήτοις συνβοηθὸς ὑφιστάμενος Wh 694 ὁ ἀθλητὴς Γεώργιος Do Wh ἐφιστάμενος] ἐπιταξάμενος Lo 695 τὴν τρικυμίαν Do Wh τὰς τρίβους Lo 697 μεταφέρεις σοφέ Lo μεταφέρειν Wh μεταφέρει Ck Do 698-704 troparium om. Mf Lo H 704 τοῦ ἀμώμου] υἱοῦ τοῦ Wh 705-711 troparium om. Vm Mf 705 δόρυ] ὅπλον Do Wh 706 παράταξιν] παρατάξεις H 707 κατὰ] καὶ τὰ H μεγαλύνομεν Lo 710 πρὸς τὸν Θεὸν Lo

τριαδ. * Τριὰς ἁγία, δόξα σοι καὶ αἶνος,
ὅτι πάντας φωτίζουσα
τοὺς ὁμολογοῦντάς σε Θεὸν ὁμοδύναμον
διδάσκεις, ὑπερούσιε,
τρισὶ προσώποις μιᾷ θεότητι
χερουβικῶς ὑμνεῖν σε ἀεὶ
καὶ δοξάζειν σε.

θεοτ. * Θεογεννῆτορ δέσποινα παρθένε,
f. 215v ἡ ἀφράστως γεν‖νήσασα
τὸν δημιουργόν σου καὶ Θεὸν πάσης κτίσεως,
ἱκέτευε δεόμεθα
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ θλίψεως
καὶ ἐξ ἐθνῶν βαρβάρων ἀεὶ
καὶ θανάτου φθορᾶς.

712-718 τριαδ. om. Lo 713 φωτίζουσα] ἐφώτισας Ck 717 σε] τε Do Vm ὑμνεῖ σε Wh 718 δοξάζει Wh 721 σου om. H 721-725 vv. om. in Mf 724 καὶ ἀπειλῆς βαρβάρων ἐχθρῶν H ἐθνῶν] ἐχθρῶν Do Vm Lo

23 APRIL. *CANON* XXVII

IN SANCTUM GEORGIUM

Vat. gr. 1547 = Vq. ff. 109v-114

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Ἕκτην δέησιν μαρτύρων δέχου κλέος· Ἰωσήφ.

Ἦχος πλ. β'.

ᾠδὴ α'. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ἐν ταῖς λαμπρότησι πάντων
τῶν ἐκλεκτῶν,
μάκαρ, αὐλιζόμενος
καὶ πληρούμενος φωτὸς
ἀνεσπέρου, αἴτησαι ἡμῖν
φωτισμὸν τοῖς εὐσεβῶς
σὲ μακαρίζουσιν.

Καταβαλὼν τῶν εἰδώλων
τὸ πονηρόν,
ἀθλοφόρε, φρόνημα,
τὴν οἰκοῦσαν ἐν ἐμοὶ
ἁμαρτίαν πάντοτε Χριστὸν
f. 110 ἱκετεύων || ἐκτενῶς,
μάρτυς, κατάβαλε.

Τῆς τῶν παθῶν τυραννίδος
τῶν κοσμικῶν
συμφορῶν καὶ θλίψεων
ἐξελοῦ ἡμᾶς, Χριστὸν
δυσωπῶν, Γεώργιε, τὸν σὸν

heirm. α' EE 159, n. 224, Joannis

ἀθλοθέτην καὶ Θεὸν
καὶ πανοικτίρμονα.

θεοτ. Ἡ τὸν ἀχώρητον Λόγον
ἐν σῇ γαστρὶ
ὑπὲρ νοῦν χωρήσασα,
μητροπάρθενε ἁγνή,
τῆς στενοχωρούσης με ἀεὶ
ἁμαρτίας, ἀγαθή,
ῥῦσαι πρεσβείαις σου.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Νεκροῖς ξοάνοις βδελυκτοῖς
οὐκ ἀπένειμας σέβας,
ἀλλ' ἐνήθλησας χαίρων
καὶ χοροῖς τῶν ἀθλητῶν
προσετέθης ἐν χαρᾷ,
ἀθλοφόρε
μέγιστε Γεώργιε.

Δοξάσας, μάρτυς, τὸν Χριστὸν
σοῦ τοῖς μέλεσι πίστει,
παρ' αὐτοῦ ἐδοξάσθης·
ἀλλ' ἀξίωσον ἡμᾶς
τῆς δόξης ἐπιτυχεῖν
τῆς ἐκεῖθεν
θείαις μεσιτείαις σου.

Ἐκ τῶν σκανδάλων τοῦ ἐχθροῦ,
f. 110v ἐκ μυρίων || πταισμάτων
καὶ παθῶν ἀτιμίας
ἀπολύτρωσαι ἡμᾶς,
ἐκδυσωπῶν τὸν Χριστόν,
ἀθλοφόρε
πάνσοφε Γεώργιε.

heirm. γ' EE 159, n. 224, Joannis

Ἡγιασμένην σε εὑρὼν
ὁ πανάγιος Λόγος,
παναγία παρθένε,
κατεσκήνωσεν ἐν σοί,
ἁγιάζων τοὺς αὐτόν,
θεοτόκε,
πίστει ἁγιάζοντας.

ᾠδὴ δ'. *Χριστός μου δύναμις*

Σταυρὸν καὶ θάνατον
τὸν ὑπομείναντα
ἑκουσίως, παμμάκαρ,
ὁμολογῶν,
πάθος ἐκαρτέρησας
καὶ πολυτρόπους αἰκισμοὺς
καὶ τὸν ὄφιν ἀπενέκρωσας.

Ἰσχὺν καὶ δύναμιν
ἡμᾶς περίζωσον
τοὺς ἐξηπορημένους
καὶ συμφοραῖς,
μάρτυς, κινδυνεύοντας,
ὅπως σωζόμενοι ταῖς σαῖς
μεσιτείαις εὐφημοῦμέν σε.

Νομίμως ἤθλησας,
νομίμως ἔδραμες
καὶ νομίμως ἐστέφθης
μαρτυρικῶς,
μάρτυς, κλεϊζόμενος·
παρανομοῦντας οὖν ἡμᾶς
ἐπανόρθου μεσιτείαις σου.

θεοτ. ‖ Μαρία ἄχραντε,
Θεοῦ λοχεύτρια,

heirm. δ' EE 159, n. 224, Joannis

τὰς ἐμὰς ἁμαρτίας
ὡς ἀγαθὴ
δέομαι ἐξάλειψον
καὶ μετανοίας μοι ὁδούς,
παναμώμητε, ὑπόδειξον.

ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθ…*

Ἀγωνισάμενος εὐκλεῶς
κατὰ τοῦ ἀλάστορος ἐχθροῦ,
νίκης ἀνέστησας τρόπαια,
μάρτυς ἀθλοφόρε,
καὶ πάντων πέφυκας
τῶν καταπονουμένων
προστάτης ἄμαχος.

Ῥωμαλεότητι τῶν φρενῶν
τὸν κατακαυχώμενον ἀεὶ
γῆν ἐξαλείφειν καὶ θάλασσαν,
μάρτυς, ἐτροπώσω·
διό σου δέομαι
τῆς τούτου πανουργίας
ῥῦσαι καὶ σῶσόν με.

Τῶν ἐνοχλούντων ἡμᾶς κακῶν,
τῶν πειρατηρίων τοῦ ἐχθροῦ,
τῶν κοσμικῶν ἀπολύτρωσαι
ἅπαντας σκανδάλων
τοὺς καταφεύγοντας
θερμῶς ὑπὸ τὴν σκέπην
τὴν σήν, Γεώργιε.

θεοτ. Ὑπὲρ κατάληψιν τοκετὸν
f. 111ᵛ ἔσχες, μητροπ‖άρθενε ἁγνή·
τὸν γὰρ Θεὸν ἐσωμάτωσας,
ὃν ἀεὶ δυσώπει

heirm. ε' EE 159, n. 224, Joannis

ἐλευθερῶσαι ἡμᾶς
παντοίας ἁμαρτίας
καὶ περιστάσεως.

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Ῥοαῖς τῶν αἱμάτων σου
ἀοράτους δυσμενεῖς,
μάρτυς σοφέ, ἐβύθισας
καὶ ἀνηνέχθης ἄνω πρὸς οὐρανούς,
ὡς θῦμα εὐπρόσδεκτον
τῷ σωτῆρι τῶν ὅλων
καὶ Θεῷ ἡμῶν.

Ὡραῖος γενόμενος
ταῖς τῶν ἄθλων καλλοναῖς
περιφανῶς, Γεώργιε,
τῆς εἰδεχθοῦς κακίας τοῦ πονηροῦ
ἡμᾶς ἐλευθέρωσον,
δυσωπῶν τὸν δεσπότην
καὶ φιλάνθρωπον.

Ναμάτων ἀνάπλεος
καὶ τοῦ πνεύματος δειχθείς,
πάντων ἡμῶν νῦν ἄρδευσον
τοὺς λογισμούς, Γεώργιε ἀθλητά,
ὅπως ἐκβλαστήσωμεν
ἀρετῶν εὐκαρπίαν
εὐφημοῦντές σε.

θεοτ. Δεσμῶν ἁμαρτίας με
f. 112 καὶ κινδύνων ‖ καὶ φθορᾶς
καὶ φοβερᾶς κολάσεως,
θεογεννῆτορ, λύτρωσαι τοὺς πιστοὺς
ἀεὶ ἀνυμνοῦντάς σε,
προστασία τοῦ κόσμου
ἀκαταίσχυντε.

heirm. ς' EE 159, n. 224, Joannis

Κοντάκιον.
Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης
τῆς εὐσεβείας γεωργὸς τιμιώτατος
....

Ὁ οἶκος. *Τῇ Γαλιλαίᾳ*

Τὸν ὑπὲρ κόσμον τῆς ζωῆς
τὴν ψυχὴν αὐτοῦ θέντα
....

f. 112v ‖ ᾠδὴ ζ'. ***Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο***

Ἐξ αἱμάτων πορφυρίδα στολισάμενος,
περιφανῶς, Γεώργιε,
τὰ βασίλεια
κατοικεῖς τὰ ἄνω ἐν χαρᾷ
Θεῷ βασιλεῖ παρεστηκώς,
ὃν ἐξιλέωσαι ἡμῖν,
τοῖς σὲ τιμῶσιν ἐν γῇ.

Χειμαζόμενοι τοῦ βίου περιστάσεσιν
καὶ πάθεσι τοῦ σώματος
συνεχόμενοι,
ἀθλοφόρε μάρτυς τοῦ Χριστοῦ,
προστρέχομεν πίστει ἀκλινεῖ
ὑπὸ τὴν σκέπην σου· διὸ
μὴ αἰσχυνθείημεν.

Οἱ ἐν νόσοις χειμαζόμενοι καὶ πάθεσι
τοῦ βίου συμπνιγόμενοι
ἁμαρτάνοντες
καὶ τὸν μόνον φύσει ἀγαθὸν

κοντάκ. MR IV, 374 οἶκ. MR IV, 374 148 περιστάσεων
heirm. ζ' EE 159, n. 224, Joannis

ἀεὶ παροργίζοντες, σοφέ,
καταλλαγαῖς σου πρὸς Θεὸν
εὕροιμεν ἔλεος.

εοτ. ‖ Ὑπερύμνητε παρθένε, ὑπερύμνητον
Θεὸν ἀποκυήσασα,
τοὺς ὑμνοῦντάς σε
ἐκ παντοίας βλάβης τοῦ ἐχθροῦ
περίσωζε, μέλποντας ἀεί·
« εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα ».

ᾠδὴ η'. *Ἐκ φλογὸς τοῖς ὁσίοις*

Κατὰ πλείστων βασάνων
κατευμεγέθησας
καὶ τῆς νίκης ἐστήσω
μέγιστα τρόπαια,
κλέος ἀθλητῶν
καὶ μαρτύρων Γεώργιε·
ὅθεν σε μεγάλως
τιμᾷ ἡ ἐκκλησία.

Λαμπρυνθεὶς ταῖς βασάνοις,
ὑπὲρ τὸν ἥλιον
θαυμασίων ἀκτῖνας,
μάρτυς, ἀπήστραψας
καὶ τοὺς ἐν νυκτὶ
ἀγνωσίας ἐφώτισας·
ὅθεν σε τιμῶμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ
σὲ προβαλλόμεθα
πρὸς τὸν πάντων δεσπότην

heirm. η' EE 159, n. 224, Joannis   170 κατ' εὐμεγέθησας   184 τοὺς αἰῶνας om. ed.

πρέσβυν, Γεώργιε·
αἴτησαι ἡμῖν
τῶν πταισμάτων συγχώρησιν
καὶ ἀρρωστημάτων
τὴν λύσιν, ἀθλοφόρε.

τριαδ. Ὀρθοδόξως τριάδα
τοῖς χαρακτῆρσί σε
καὶ μονάδα τῇ φύσει
f. 113v ‖ ἀεὶ δοξάζομεν,
πάτερ καὶ υἱὲ
καὶ τὸ πνεῦμα τὸ ἅγιον,
ἄκτιστε θεότης
καὶ μία βασιλεία.

θεοτ. Συλλαβοῦσα ἀφλέκτως
τὸ πῦρ τὸ ἄστεκτον,
Χερουβὶμ ὑπερτέρα
ἐδείχθης, δέσποινα·
ὅθεν σε φωναῖς
ἀσιγήτοις δοξάζομεν,
τὴν εὐλογημένην
καὶ κεχαριτωμένην.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

Ἰσχὺν καὶ κράτος τοῦ πολεμήτορος
ὑπὸ Χριστοῦ
ῥωννύμενος τελείως διώλεσας
καὶ βραβείων τῆς νίκης ἐπέτυχες,
μάρτυς στεφανηφόρε·
ὅθεν τιμῶμέν σε,
πρέσβυν καὶ θερμότατον ἡμῶν
καταπλουτήσαντες.

Ὡς νῦν τὰ ἄνω οἰκῶν βασίλεια
καὶ ταῖς αὐγαῖς

heirm. θ' EE 159-160, n. 224, Joannis

ταῖς θείαις ἱερῶς πυρσευόμενος
καὶ μεθέξεσι θείαις θεώμενος,
πρέσβευε ὑπὲρ πάντων
τῶν δεομένων σου,
μάρτυς, προστασίας τῆς θερμῆς
καὶ ἀντιλήψεως.

f. 114 ‖ Σαρκὶ τὸν ἄσαρκον κατεπάλαισας
περιφανῶς,
Γεώργιε μαρτύρων ἀγλάϊσμα,
καὶ προστάτης πιστῶν ἐχρημάτισας·
ὅθεν ἐν κατανύξει
ἀναβοῶμέν σοι·
« πάντων τῶν τοῦ βίου δυσχερῶν
ἡμᾶς διάσωσον ».

Ἡ νῦν κατέχουσα ῥαθυμία σε,
ἡ τῶν καλῶν
ἀργία, ὦ ψυχή, τὴν ἐκεῖθέν σοι
προξενεῖ τιμωρίαν· ἀνάνηψον,
κράζε πρὸς τὸν δεσπότην·
« κύριε, σῶσόν με
θείαις Γεωργίου προσευχαῖς
τοῦ ἀθλοφόρου σου ».

θεοτ. Φωνὴν προσφέρομεν τοῦ ἀγγέλου σοι·
χαῖρε, σεμνὴ
παρθένε, τῶν μαρτύρων τὸ καύχημα
καὶ ἀνθρώπων πιστῶν τὸ διάσωσμα,
χαῖρε, ἁμαρτανόντων
πάντων βοήθεια,
χαῖρε, ἱλαστήριον ἡμῶν
καὶ καταφύγιον.

24 APRIL. *CANON* XXVIII

IN SANCTAM ELISABETH

Synaxarium, 625-627: Ἥτις ἐν ἁπαλῷ τῷ σώματι ἀσκητικοὺς πόνους ὑπελθοῦσα χάριν ἰαμάτων παρὰ Χριστοῦ ἐκομίσατο, ὅθεν καὶ παντοῖα νοσήματα ἰάσατο. Ταύτης ἡ γέννησις διὰ θείας ἀποκαλύψεως ἐδηλώθη, καὶ σκεῦος ἐκλογῆς ἔσεσθαι προηγγέλθη. Αὕτη μονοχίτων οὖσα τῷ κρύει καὶ τῷ παγετῷ κατεπήγνυτο, ὕδατι τὸ σῶμα διὰ βίου παντὸς οὐκ ἀπέπλυνε, ὡς Μωϋσῆς καὶ Ἠλίας τεσσαράκοντα ἡμέρας νῆστις διετέλεσεν ἐπὶ τρισὶν ἔτεσι. Τὴν μὲν καρδίαν ἔσχε πρὸς τὸν ἐν οὐρανοῖς κατοικοῦντα Θεόν· τοῖς δὲ σωματικοῖς ὀφθαλμοῖς οὐδ' ὅλως εἶδεν οὐρανοῦ κάλλος καὶ μέγεθος. Ὄφιν μέγιστον καὶ δεινὸν προσευχῇ ἐθανάτωσεν, ὄψου ἐπὶ πλείστους χρόνους οὐ μετέλαβεν, ἐλαίου οὐδὲ μικρὸν ἀπεγεύσατο· ὑποδήματα τοῖς ποσὶν οὐκ ἐκτήσατο. Ἐν τούτοις τοῖς θεαρέστοις κατορθώμασιν ἀνεπαύσατο ἐν Κυρίῳ, πολλῶν θαυμάτων χάριν μέχρι καὶ τήμερον τοῖς μετὰ πίστεως αὐτῇ προσερχομένοις παρέχουσα· χοῦς γὰρ ἐκ τῆς σοροῦ αὐτῆς λαμβανόμενος πᾶσαν νόσον θεραπεύει.

Crypt. Δ.α. XVII	=	Ck, ff. 216-220v
Crypt. Δ.α. VIII	=	Do, ff. 85v-88v
Vallic. gr. E 54	=	Ea, ff. 220-222
Mess. gr. 121	=	Mh, ff. 129v-132
Paris. gr. 13	=	Q, ff. 306v-307
Paris. Suppl. gr. 152	=	Sc, ff. 42v-43v
Paris. gr. 1618	=	Re, ff. 70-73

Ὁ κανών· ⟨ποίημα Ἰωσήφ⟩.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

* Ταῖς τῶν παθῶν με τρικυμίαις πάντοθεν
περικυκλούμενον

Tit. Τῆς ἁγίας καὶ θαυματουργοῦ ἐλισάβετ Ck — Ἕτερος κανών... alternatis odis duo canones praebet Ck, ex quibus prior., in S. Isbam Stratelatam, Σὺ τὴν ἡμῶν, κύριε, ἐκ τῶν τοῦ ᾅδου Anal. Boll. 80 (1962) 303-307. Εἰς τὸν ὄρθρον κανών... Q — Nomen Ἰωσήφ in margine extrema posterior manus scripsit in Ck om. Re Q

heirm. α' EE 219, n. 314, Joannis 1-16 troparia in MR IV, 380-381
2 περικυκλούμενος Mh

καὶ λογισμῶν σάλῳ
τὴν ψυχὴν δονούμενον,
ἐπὶ λιμένα εὔδιον
τῶν Χριστοῦ θελημάτων
ταῖς προσευχαῖς σου κυβέρνησον,
ὅπως, Ἐλισάβετ, ὑμνήσω σε.

* Παρθενικαῖς ἠγλαϊσμένη χάρισιν,
θεομακάριστε,
τῷ καθαρῷ Λόγῳ
ἐνυμφεύθης πνεύματι
ἐκ βρέφους δι' ἀσκήσεως
καὶ αὐτοῦ ζωηφόροις
f. 216v || ἐπηκολούθησας ἴχνεσιν,
νέκρωσιν παθῶν περιφέρουσα.

* Τὰς πυριφλέκτους ἡδονὰς τοῦ σώματος
δρόσῳ κατέσβεσας
ἀσκητικῶν πόνων·
ὅθεν σοι ἀνέτειλεν
τῆς ἀληθείας ἥλιος
καὶ ἰάσεων φέγγος
καὶ χαρισμάτων τοῦ πνεύματος
ἄδυτος αὐγή, ἀξιάγαστε.

Θείων πατέρων νουθεσίας, ἔνδοξε,
ἐξηκολούθησας
καὶ τοὺς αὐτῶν τρόπους
καθαρῶς ἐζήλωσας,
ἐγκράτειαν ὡς ἄσαρκος,
Ἐλισάβετ ὁσία,
καὶ ἀγρυπνίαν ἀσκήσασα
καὶ ἀληθεστάτην ταπείνωσιν.

θεοτ. * Σὲ τὴν τεκοῦσαν ὑπὲρ νοῦν, πανάμωμε,
τὸν ἀδιαίρετον

17-24 troparium An. ξε' om. Q Re MR 21 ἀληθείας] ἀπαθείας Mh Sc An. 30 καὶ ἀγάπην καὶ πίστιν Re 25-32 troparium om. Ea Mh Sc MR ἐπηκολούθησας Q 33-40 θεοτ. MR IV, 381 33 πανάμωμον Mh

Θεοῦ πατρὸς Λόγον,
διαπύρῳ ἔρωτι
ποθοῦσα ἡ ἀοίδιμος
Ἐλισάβετ, χωρίον
ἁγίου πνεύματος γέγονεν,
θείαις ἀρεταῖς διαλάμπουσα.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε,*
ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων

Σὲ ἡ κυήσασα
ἐκ θείου πνεύματος ἐδιδάσκετο
ἔσεσθαί σε σκεῦος
ἐγκρατείας καθαρόν·
ὅθεν ἐγκρατῶς
τὰς σὰς ἡμέρας διήνυσας,
ἀοίδιμε Ἐλισάβετ,
καθαρώτατον Χριστοῦ καταγώγιον.

Ἔνδυμα ἄφθαρτον,
στολὴν ἀμίαντον, ἀδιάρρηκτον
ἀπεκδεχομένη,
μονοχίτων εὐλαβῶς
ἔζησας, τῷ κρύει
πηγνυμένη καὶ πνεύματι
τῷ θείῳ ἐνθαλπομένη
καὶ χιτῶνα τῶν παθῶν ὑπεκκλίνουσα.

Ὕδατι τὸ σῶμα
πάντα τὸν βίον σου οὐκ ἀπέπλυνας·
ἔνδον γὰρ ὁ ἔρως
ἀναφλέγων θεϊκὸς
θείας κατανύξεως

38 χωρίον] δοχεῖον Q Sc Re MR 40 διαλάμψασα Sc Re ode β' om. in Ea Mh Q Sc Re heirm. β' EE 226, n. 323, Germani 55 ἐν] σὺν Do 59 ὁ] σὲ Do

προχέειν τὰ δάκρυα
ἠρέθιζεν, Ἐλισάβετ,
ἀφανίζοντα ψυχῆς ἀμαυρότητα.

θεοτ. Λόγον ἐκύησας
λόγῳ τὰ σύμπαντα συστησάμενον,
κεχαριτωμένη,
θεοχώρητε ναέ,
πύλη νοητή,
ἡγιασμένον παλάτιον
τοῦ βασιλέως τῆς δόξης,
ἡ τὸ γένος τῶν βροτῶν ἀναπλάσασα.

f. 217 ‖ ᾠδὴ γ΄. *Οὐρανίας ἁψῖδος*

* Οὐρανίους θαλάμους
φωτοειδεῖς ᾤκησας,
νύμφη ἐκλεκτὴ γενομένη
τοῦ παντοκράτορος
καὶ τῶν ἰάσεων
τοὺς ποταμοὺς ἀναβλύζεις,
παθημάτων ῥεύματα
ἀποξηραίνοντας.

* Τὸν Ἠλίαν ζηλοῦσα
καὶ Μωυσῆν, πάνσεμνε,
μῆκος ἡμερῶν ὡς ἐκεῖνοι
νηστείας ἤνυσας,
ἄρτον οὐράνιον
θεωριῶν σοφωτάτων

heirm. γ΄ EE 220, n. 315, Joannis 73-88 troparia MR IV, 381
78 διεκβλύζεις MR 79 ῥέματα Q 80 ἀποξηράναντα Mh 83 μήκει MR
84 νῆστις διήνυσας Q νηστείαν MR ἤνυσας] ἔλυσας Re 85 οὐρανίων Mh
86 σοφωτάτη Ea Mh

81-84 III Regn. 17,3-6; Ex. 2,15-20.

ἐντρυφῶσα χάριτι
τοῦ παντοκράτορος.

Ὀφθαλμοὺς τῆς καρδίας
εἰς οὐρανοὺς ἔχουσα,
ἔτεσι τρισὶ πρὸς τὸ ὕψος
ὄμμα οὐκ ἔτεινας,
θείαις προστάξεσιν
ἀκολουθοῦσα πατέρων
ἐν ἁγίῳ πνεύματι
παιδοτριβούντων σε.

θεοτ. * Παρθενίας σε μόνην
τὸ καθαρὸν τέμενος
ἡ πανευκλεὴς Ἐλισάβετ
ἐπιποθήσασα,
κόρη πανάμωμε,
τῷ σῷ υἱῷ προσηνέχθη,
εὐσεβῶς ὀπίσω σου
ἀκολουθήσασα.

Κάθισμα.

Ἦχος γ΄. *Θείας πίστεως ὁμολογίᾳ*

Πόνους ἤνεγκας τῆς ἐγκρατείας,
χάριν εἴληφας τῆς ἀπαθείας
. . . .

f. 217ᵛ ‖ ᾠδὴ δ΄. *Σύ μου, Χριστέ,*
κύριος, σύ μου καὶ δύναμις

* Ὄφιν δεινὸν
δράκοντα σὺ ἐθανάτωσας,

87 ἐντρυφῶσα] δεχομένη MR 88 τοῦ θείου πνεύματος Q Sc Re MR
91 τρισὶ] τισὶ Re 100 πίστει ποθήσασα Q Sc Re 101 κόρη] χαῖρε MR
102 προσηνέχθη] προσαχθεῖσα MR
κάθ. MR IV, 381
heirm. δ΄ EE 219, n. 314, Joannis 105-11[illegible] troparium MR IV, 381-382 106 ἐθανάτωσας] ἐταπείνωσας Ea

προσευχῇ σου
πρότερον συντρίψασα
τοῦ πονηροῦ πάσας μηχανὰς
θείᾳ δυναστείᾳ
καὶ τοῦτον εἰς βρῶσιν δέδωκας
θηρίων, Ἐλισάβετ,
καὶ παντοίων ὀρνέων,
τὸν τῶν ὅλων δεσπότην δοξάζουσα.

Ὀπτασιῶν
θείων ἐνθέως ἠξίωσαι,
Ἐλισάβετ·
ἔνδον λειτουργοῦντι γὰρ
τῷ ἱερεῖ φῶς περὶ αὐτὸν
εἶδες ἐν αὔλῳ
τοῦ πνεύματος θείᾳ χάριτι
αὐτὸν μὲν περιλάμπον,
τὰς δὲ σὰς ἐπὶ πλεῖον
καταυγάζον αἰσθήσεις, θεόπνευστε.

Ἀληθινῆς
κλῆμα ἀμπέλου γεγένησαι,
Ἐλισάβετ,
βότρυας προσφέρουσα
τοὺς ἐναρέτους πνευματικῶς,
γλεῦκος ἰαμάτων
καὶ κατανύξεως στάζοντας,
δι' ὧν ἡμᾶς εὐφραίνεις
τοὺς ἐν πίστει τιμῶντας
τὸν ἰσάγγελον βίον σου πάντοτε.

θεοτ. * Μόνη Θεὸν
φέρεις ἐν μήτρᾳ σαρκούμενον,
τὸν τὸ εἶναι
πᾶσι παρεχόμενον,

110 δυναστεία] δυνάμει Mh 115 ὀπτασίαν Mh 116 θείαν Mh 122 αὐτῶ Mh 128 προφέρουσα Mh Q Re προφέρουσαν Do 129 ἐναρέτως Re 135-144 θεοτ. MR IV, 382

125-126 Joh. 15,1-5

ὃν ἐπεπόθησεν ἐκ ψυχῆς
τούτῳ μνηστευθεῖσα
ἡ Ἐλισάβετ ἐν πνεύματι,
παρθένε θεοτόκε,
τῶν ἀγγέλων τὸ θαῦμα
καὶ δαιμόνων τὸ τραῦμα, πανύμνητε.

f. 218 ‖ ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

* Ἀπεξήρανας ῥεῖθρα
τὰ τῆς ἁμαρτίας δακρύων προχύσεσιν
καὶ αἱμάτων ῥύσιν
πολυχρόνιον ἔστησας χάριτι
εὐλαβῶν γυναίων
σοὶ διαφόρως προσελθόντων,
Ἐλισάβετ ὁσία πανεύφημε.

* Ἐπὶ πλείονας χρόνους
ἄρτου τὴν μετάληψιν ἠρνήσω, ἔνδοξε,
ἐγκρατείας πόνοις
τὴν ψυχὴν εὐσεβῶς ἐκκαθαίρουσα
καὶ τὴν ἀσαρκίαν
τῶν ἀσωμάτων προσκτωμένη,
Ἐλισάβετ παρθένε θεόνυμφε.

Ταῖς ὡραίαις σου πτέρναις
Εὔαν τὸν πτερνίσαντα ἐχθρὸν ὑπέταξας,

139 ἐπόθησεν Mh 140 τοῦτον Ck 141 ἐν] τῶ Re 144 πανύμνητε] πανθαύμαστε MR
heirm. ε' EE 219, n. 314, Joannis 145-158 troparia MR IV, 382 146 προσχύσεσι Do Mh Q Sc Re MR 147 ῥύσιν] χύσιν Q 150 προσελθουσῶν σοι διαφόρως MR σοὶ] σὺ Sc Re 154 πόνοις] τόνοις Re 158 παρθένε θεόνυμφε] ὁσίων τὸ καύχημα MR παρθένων τὸ καύχημα Do Re 159-165 troparium om. Mh Re 159 ὡραίοις Ck Sc

160 Gen. 3,4-6

οὐκ ἀνασχομένη
ὑποδήμασι ταύτας καλύπτεσθαι,
ἀλλ' ἐγκαρτεροῦσα
ἀσκητικῶς κακοπαθοῦσα,
Ἐλισάβετ, παρθένων τὸ καύχημα.

θεοτ. * Ὑπερτέρα τῶν ἄνω
πέφυκας δυνάμεων, Λόγον κυήσασα
τοῦ πατρός, παρθένε,
τὸν συνάναρχον καὶ συναΐδιον,
οὗ ταῖς φρυκτωρίαις
ἡ θεοφόρος αὐγασθεῖσα,
τῶν παθῶν τὴν ὁμίχλην διέλυσεν.

f. 218v || ᾠδὴ ϛ'. *Ἱλάσθητί μοι, σωτήρ,*

* Τὸν ἔλεον τοῦ Θεοῦ
ἀσκητικῶς ἐπισπάσασθαι
ἐπιποθοῦσα, σεμνή,
ἐλαίου μετάληψιν
ἐκ βρέφους ἐξέκλινας
ἱλαρυνομένη
ταῖς τῶν πόνων ἐπιδόσεσιν.

* Ὁ βίος σου φωταυγὴς
ταῖς ἀρεταῖς κεκαλλώπισται·
ἡ κοίμησις ἱερῶς
τοῖς θαύμασιν ἤστραψεν,
διώκουσα δαίμονας
καὶ παθῶν χειμῶνα
θείᾳ χάριτι σκεδάζουσα.

162 τοῦτα Sc 164 ἀσκητικῇ κακοπαθείᾳ Ea Q Sc 165 παρθένε Ea
166-172 θεοτ. MR IV, 382
heirm. ϛ' EE 220, n. 315, Joannis 173-186 troparia MR IV, 382
174 ἐπεὶ σπάσασθαι Re ἐπιπάσασθαι Mh 177 ἐκ βρέφους] ἑβραίους Re
180 φωταυγῶς Q Sc 186 χάριτι διασκεδάζουσα Ea

Τῆς ἱερᾶς σου ψυχῆς
ἐκδημησάσης πρὸς κύριον,
ὡράθης φῶς αἰσθητὸν
φωτίζον τὸ οἴκημα
καὶ τοὺς παρεστῶτάς σου
τῷ σεπτῷ λειψάνῳ,
Ἐλισάβετ θεοφώτιστε.

θεοτ. * Συνέλαβες ἐν γαστρὶ
τὸν προαιώνιον, ἄχραντε,
καὶ τέτοκας ἐν σαρκὶ
τὸν φύσει ἀσώματον
καὶ γάλακτι ἔθρεψας
τὸν τροφέα πάντων,
θεομῆτορ ἀπειρόγαμε.

f. 219 || ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

* Γνώμην φιλόθεον ἐκτήσω,
μετὰ σώματος ἀγγέλους ἐμιμήσω,
ἀγρυπνοῦσα θερμῶς
καὶ ψάλλουσα προθύμως·
« εὐλογητὸς εἶ, κύριε,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν ».

* Χεῖρα προτείνεις συμπαθείας
καὶ παρέχεις τῷ ξηρὰν ἔχοντι χεῖρα
τὴν ὑγείαν τῷ σῷ
λειψάνῳ προσελθόντι,
μοναζουσῶν τὸ στήριγμα,
Ἐλισάβετ θεοφόρε.

188 ἐνδημησάσης Ck Mh 189 ὡράθη Mh Q Sc Re 191 σοι Re
194-200 θεοτ. MR IV, 383
heirm. ζ' EE 220, n. 315, Joannis 201-212 troparia MR IV, 383

Χοῦς λαμβανόμενος ἐκ μόνης
τῆς προσψαύσεως τοῦ τάφου σου, παρθένε,
ἁγιάζει πιστοὺς
καὶ πάθη φυγαδεύει
τῶν μελῳδούντων· « κύριε,
ὁ Θεὸς εὐλογητὸς εἶ ».

θεοτ. * Ἴδε τὴν θλῖψίν μου, παρθένε,
ἣν ἐπήγαγε τὸ πλῆθος τῶν κακῶν μου
καὶ πρὸ τοῦ ἀπελθεῖν
ἀνάψυξίν μοι δίδου,
ταῖς μητρικαῖς πρεσβείαις σου
ἱλεοῦσά μοι τὸ θεῖον.

f. 219ᵛ ‖ ᾠδὴ η΄. *Ἑπταπλασίως κάμινον*

* Οἱ τῇ σορῷ πελάζοντες
τῶν λειψάνων σου πάντοτε,
πάσας τὰς αἰτήσεις εὐσεβῶς λαμβάνουσι
Θεοῦ σε δοξάσαντος,
Θεοῦ σε μεγαλύναντος,
τοῦ προσδεξαμένου τοὺς σεπτούς σου ἀγῶνας,
πρὸς ὃν βοᾷς ἀπαύστως·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

* Τὰ τῆς καρδίας ὄμματα
φωτισθεῖσα ἐν πνεύματι,

213 χοῦς] τοὺς Mh 215 ἁγιάζεις Re 216 φυγαδεύεις Re καὶ] δὲ καὶ Mh 219-224 θεοτ. MR IV, 383 221 καὶ γεέννης πυρὸς Ea Mh Q Sc Re MR 222 ἐξάρπασον βοῶντα Ea Mh Q Sc Re MR 223 εὐλογημένος, πάναγνε Q MR εὐλογητὸς εἶ κύριε Sc Re εὐλογητὸς ὁ Θεὸς Mh 224 ὁ καρπὸς τῆς σῆς κοιλίας Q MR ὁ τῶν πατέρων ἡμῶν Mh om. Sc Re

heirm. η΄ EE 219, n. 314, Joannis 225-244 troparia MR IV, 383-384 228 δοξάζοντος Sc Re MR 229 μεγαλύνοντος Ea Sc Re MR μεγαλύνοντας Mh 230 σου ἀγῶνας] καμάτους σου Ea Mh καμάτους Q Sc Re 231 ἀπαύστως] ὁσία Mh Q Sc 232 εὐλογεῖτε] ἀνυμνεῖτε Ea Sc 234 εἰς πάντας] αὐτὸν ... Do Sc

πίστει τῷ τὴν σὴν καταλαβόντι θείαν σορόν
τὸ βλέπειν δεδώρησαι,
παρὰ Θεοῦ πλουτήσασα
τὴν τῶν ἰαμάτων δαψιλῆ χορηγίαν,
πρὸς ὃν βοᾷς ἀπαύστως·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

* Τὴν ψυχικὴν λαμπάδα σου
ἐν ἐλαίῳ φαιδρύνουσα,
θείας συμπαθείας εἰς νυμφῶνα ἔφθασας
οὐράνιον, ἔνδοξε,
καὶ τῷ νυμφίῳ Λόγῳ, σεμνή,
ἅμα ταῖς φρονίμοις συνεισῆλθες παρθένοις,
βοῶσα, Ἐλισάβετ·
« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Τὴν διὰ ξύλου βρώσεως
γενομένην κατάπτωσιν
μόνη τὸν Χριστὸν τὸν ἀγαθὸν Θεὸν ἡμῶν
τεκοῦσα ἰάτρευσας,
θεοκυῆτορ πάναγνε,
καὶ τοὺς ἀπωσμένους ἐπανήγαγες πάλιν
πρὸς δόξαν μελῳδοῦντας·

237 καταλαβόντα Mh 239 Θεοῦ] Χριστοῦ MR 240 τὴν] τῇ Re om. Mh χορηγία Re 241 βοᾷς ἀπαύστως] ὁσία κράζει MR ἀπαύστως] ἐν πίστει Ea Mh 242 ἀνυμνεῖτε] εὐλογεῖτε Q Sc Re MR 244 εἰς πάντας] αὐτὸν εἰς Do 245-254 troparium An. ξζ΄ 245 τὴν ψυχικὴν] τὴν τῆς ψυχῆς Q 246 φαιδρύνασα Do Q Sc Re 247 συμπαθείας] ἀπαθείας An 249 σεμνή] Χριστῷ An 250 συνεισῆλθες] συναγάλλῃ Do Ea Mh Q Sc Re An 251 Ἐλισάβετ] μακαρία An 252 ἀνυμνεῖτε] εὐλογεῖτε Q Re An 254 εἰς πάντας] αὐτὸν ... Do Sc 256 κατάπτωσιν] παράβασιν Sc 257 Χριστὸν] Θεὸν Sc ἀγαθὸν] ἀληθῆ Do Ea Mh Q Sc Re 260 καὶ τοὺς ἀπωσμένους] τοὺς ἀπεγνωσμένους Sc

247-250 Matth. 25,1-13 255-256 Gen. 3,22-24

« ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 220 ‖ ᾠδὴ θ'. *Ἔφριξε πᾶσα ἀκοή*

* Ἰδέσθαι
κάλλος νοητὸν
τοῦ νυμφίου καθαρῶς ἐπεπόθησας
καὶ ποῦ κοιτάζεις; αὐτῷ·
ποῦ δὲ ποιμαίνεις; θερμῶς ἐκραύγαζες·
« ἐπαναπαύσομαι ἐν σοὶ
καὶ σοῦ ταῖς τερπνότησι
κατατερφθήσομαι,
μεγαλύνουσα τὴν σὴν ἀγαθότητα ».

* Ὢ θαῦμα·
πῶς μετὰ ταφὴν
καὶ χρονίαν ἐν μνημείῳ κατάθεσιν
ἀδιαλώβητον
τὸ σὸν ὁρᾶται λείψανον κείμενον,
χαριτωθὲν καὶ λαμπρυνθὲν
σημείοις καὶ τέρασιν
καὶ ἰαμάτων κρουνοὺς
καθ' ἑκάστην τοῖς πιστοῖς παρεχόμενον;

* Σύνεσιν
ἔσχες ἐν ψυχῇ
καὶ ταπείνωσιν καὶ θείαν πραότητα,
πίστιν ἀνόθευτον
καὶ σὺν ἐλπίδι ἀγάπην ἔνθεον,
ἐν ὁλονύκτοις προσευχαῖς

262 ἀνυμνεῖτε] εὐλογεῖτε Re
heirm. θ' EE 222, n. 317, Joannis 265-300 troparia MR IV, 384-385
265 ιδες Mh 267 τὸν νυμφίον Mh 268 αὐτῷ] αὐτὸν Mh 272 καταπεμφθήσομαι Sc 275 ταφὴν] θανὴν Mh Q θανεῖν Ea Sc Re 278 κείμενον λείψανον Q 281 κρονοὺς Ea

Θεῷ προσεδρεύουσα
καὶ ταῖς ἐκεῖθεν αὐγαῖς,
Ἐλισάβετ, λαμπομένη φαιδρότατα.

* Ἤθροισται
σήμερον λαὸς
ἐν αἰνέσει μεγαλύνων τὸν κύριον,
τὸν μεγαλύναντα
σοῦ τὴν ἁγίαν ταύτην πανήγυριν,
ἐν ᾗ μνημόνευε ἡμῶν
τῶν μνημονευόντων σου,
παρισταμένη Χριστῷ
τῷ νυμφίῳ σου, σεμνὴ παμμακάριστε.

θεοτ. * Φεῖσαί μου,
σῶτερ, ὁ τεχθεὶς
καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον
μετὰ τὴν κύησιν,
f. 220v ὅταν καθίσῃς ‖ κρῖναι τὰ ἔργα μου,
τὰς ἁμαρτίας παρορῶν
καὶ τὰς ἀνομίας μου
ὡς ἀναμάρτητος,
ἐλεῆμον, ὡς Θεὸς καὶ φιλάνθρωπος.

291 φαιδρότητα Do Mh Re 292-300 troparium om. Mh 294 μεγαλύναι Re 295 τὸν μεγαλύνοντα Ea 299 Χριστὸν Ea 300 τῷ νυμφίῳ σου, σεμνὴ] τὸν νυμφίον σου ἀεὶ Ea 301-309 θεοτ. MR IV, 385 306 τῆς ἁμαρτίας] τὰς ἀνομίας Ea Mh Q Sc Re MR τὰς] τῆς Ck 307 καὶ τὰς ἁμαρτίας μου Ea Mh Q Sc Re MR 308 ὡς ὑπεράγαθος MR 309 ὡς Θεὸς καὶ φιλάνθρωπος] ἀγαθὲ καὶ φιλάνθρωπε MR

305 Matth. 25,31-32

25 APRIL. *CANON XXIX*

IN SANCTUM APOSTOLUM MARCUM EVANGELISTAM

Synaxarium, 627-630: Ὁ πανεύφημος Ἀπόστολος Μᾶρκος πάσῃ τῇ Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Βαρβαρικῇ καὶ Πενταπόλει κατὰ τοὺς χρόνους Τιβερίου Καίσαρος τὸν Χριστοῦ λόγον ἀνεκήρυξε. Συνεγράψατο δὲ καὶ τὸ ἅγιον Εὐαγγέλιον, Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ἐξηγουμένου αὐτό. Καὶ ἐν Κυρήνῃ τῆς Πενταπόλεως γενόμενος πολλὰ κατειργάσατο θαύματα· εἶτα εἰς τὴν κατὰ φάρον Ἀλεξάνδρειαν ἦλθεν καὶ ἐκεῖθεν εἰς τὴν Πεντάπολιν, πανταχοῦ θαυματουργῶν καὶ τὰς τοῦ Χριστοῦ ἐκκλησίας κατακοσμῶν χειροτονίαις ἐπισκόπων καὶ τῶν λοιπῶν κληρικῶν· ὕστερον δὲ αὖθις εἰς Ἀλεξάνδρειαν ἐλθὼν καί τινας τῶν ἀδελφῶν παρὰ θάλασσαν ἐν τοῖς Βουκόλου εὑρών, συνῆν αὐτοῖς τὸν λόγον τοῦ Χριστοῦ εὐαγγελιζόμενος καὶ κηρύττων. Ἔνθα ἐπελθόντες αὐτῷ οἱ τῶν εἰδώλων θεραπευταὶ μὴ φέροντες ὁρᾶν τὴν εἰς Χριστὸν πίστιν εὐοδουμένην, σχοινίοις αὐτὸν διαλαβόντες ἔσυραν. Προσπίπτουσαι δὲ ταῖς πέτραις αἱ σάρκες αὐτοῦ κατεξαίνοντο, καὶ τὸ αἷμα τὴν γῆν ἐφοίνισσεν. Τεθέντι δὲ ἐν τῇ φυλακῇ ὤφθη ὁ Κύριος..... τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε καὶ εἰς τὸν εἰρημένον τόπον τὰ Βουκόλου ἐπενεγκόντες ἔθαψαν ἢ μᾶλλον ἔρριψαν.....

Crypt. Δ.α. XVII	=	Ck, ff. 222-226
Paris. gr. 1564	=	Py, ff. 58v-60
Paris. gr. 1575	=	Pv, ff. 59-60
Paris. Suppl. gr. 152	=	Sc, ff. 44-45
Barber. gr. 450	=	Bh, ff. 77-77v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὦ Μᾶρκε, τήνδε τὴν δέησίν μου δέχου· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Ὡς ἥλιος μέγας ἀνατολαῖς
τοῦ εὐαγγελίου

tit. Ἕτερος κανὼν φέρων ἀκροστιχίδα Ck, qui alternatis odis duo canones hoc ordine praebet: priorem: Μᾶρκον τὸν θεόπτην εὐφημῶν . . . MR IV, 387-391, alterum quem huc referimus Ὁ κανὼν in Sc Ποίημα Ἰωσὴφ in Py Nomen Ἰωσὴφ in acrostichidis conscriptione om. Pv

heirm. α' EE 220, n. 315, Joannis

καταυγάζεις πᾶσαν τὴν γῆν·
διὸ τοῦ νοός μου, θεῖε Μᾶρκε,
τὸν σκοτασμὸν δυσωπῶ σε ἀπέλασον.

Μακρύνας καρδίαν φθοροποιῶν
παθῶν, οἰκειώθης
τῷ καλέσαντί σε Χριστῷ·
ὃν νῦν ἐκδυσώπει, θεῖε Μᾶρκε,
ἀπὸ πλανήσεως ῥυσθῆναί με.

Ἀγῶνας καὶ πάλας τοῦ πονηροῦ
καὶ τὰς μεθοδείας
τὰς ἐκείνου καὶ μηχανάς,
Μᾶρκε, ἀβλαβῶς με διαβαίνειν,
ἐκδυσωπῶν τὸν σωτῆρα, ἐνίσχυσον.

θεοτ. Ῥυσθῆναί με πάσης ἐπιβουλῆς
τῶν ἐπεμβαινόντων
ἀφειδῶς μοι διὰ παντός,
παρθένε Μαρία, ἐκδυσώπει
τὸν σὸν υἱὸν καὶ Θεὸν ἱκετεύω σε.

f. 222v ‖ ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Κόσμον κατεφώτισας
ταῖς διδαχαῖς· διὸ δέομαι
τῆς πονηρᾶς
ῥῦσαι ἀκοσμίας
τῶν παθῶν με, ἀπόστολε.

Ἔβλυσεν ἡ γλῶσσά σου
μελισταγῆ, σοφέ, δόγματα·
ὅθεν βοῶ,

3 καταυγάζων Ck καταυγάζειν Pv 6 καρδίας Ck 9 αὐτὸν ἐκδυσώπει Py ὃν] ὦ Ck 10 ἀποπλανήσεως πάσης ῥυσθῆναί με Sc 14 Μᾶρκε] μάκαρ Sc Bh ἀβλαβῶς] εὐλαβῶς Bh 15 ἐκδυσωπῶ Ck Pv 17 τῶν ἐπεμβαινόντων μοι Sc 18 με Pv 20 καὶ Θεὸν ἱκετεύω σε] καθικετεύω σε Bh

heirm. γ' EE 224, n. 321, Joannis 22 διὸ] ταῖς σαῖς Bh 27 μελισταγὼν Ck

πάσης με πικρίας
τῶν παθῶν ἐλευθέρωσον.

Τίμιος γενόμενος
ταῖς ἀρεταῖς Θεῷ, ἔνδοξε,
πάσης ἡμᾶς
πράξεως ἀτίμου
δυσωπῶ σε ἀπάλλαξον.

θεοτ. Ἥλιον κυήσασα
τὸν ἀγαθώτατον κύριον,
μῆτερ ἁγνή,
τῶν ἁμαρτιῶν μου
τὸ βαθὺ σκότος δίωξον.

Κάθισμα.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Ὡς ἀστέρα μέγα σε ἡ ἐκκλησία
. . . .

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Τῶν εἰδώλων τὰ θράση καταβαλών,
τοῦ σωτῆρος τὰ πάθη ἐπιποθῶν
. . . .

f. 223 || ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον*

Νυσταγμοῦ ψυχοφθόρου με
καὶ ὕπνου βαθέος, Μᾶρκε ἀπόστολε,

35 δυσωπῶ σε] δυσωποῦμεν Py Pv Sc 38 μήτηρ Py Pv Sc Primum κάθ. MR IV, 388, pro hoc alterum κάθ. praebet Py: Τὴν σαγήνην κυρίου ἐπὶ τὰ πέρατα / ἐφαπλώσας, συνέσχε διὰ τοῦ πνεύματος / τοὺς ἀνθρώπους μυστικῶς / καὶ προσήγαγεν / ὁ ἀπόστολος Θεῷ ὡς ἰχθύας λογικοὺς / εἰς δόξαν τῆς ἐκκλησίας / καὶ νῦν πρεσβεύει σωθῆναι / τοὺς ἀνυμνοῦντας τὴν μνήμην αὐτοῦ. Aliud κάθ. MR II, 332

heirm. δ' EE 225, n. 322, Cosmae 41 Νυσταγμῷ ψυχοφθόρῳ με Bh 42 βαθέος] βαρέος Sc

ταῖς ἀγρύπνοις ἱκεσίαις σου
ταῖς πρὸς τὸν δεσπότην ἐλευθέρωσον.

Δεσμευθεῖσαν τοῖς πάθεσιν
λῦσον τὴν ψυχήν μου, λύειν, ἀπόστολε,
ἐξουσίαν καὶ δεσμεῖν εἰληφὼς
παρὰ τοῦ δεσπότου, παμμακάριστε.

Εἰς τὰ βάθη τοῦ πνεύματος,
ἔνδοξε, ἐγκύψας μετὰ τοῦ πνεύματος,
ἐκ τοῦ βάθους τῆς κακίας με
πονηρῶν πνευμάτων ἐλευθέρωσον.

θεοτ. Τῆς ψυχῆς μου τὰ τραύματα
ἴασαι, παρθένε, τῇ μεσιτείᾳ σου
καὶ τὸν νοῦν μου ταραττόμενον
προσβολαῖς δαιμόνων νῦν εἰρήνευσον.

f. 223v || ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ἡ θεόπνους ψυχή σου
θείων ἐπιλάμψεων δοχεῖον γέγονεν,
ἀλλ' αἰτῶ σε, μάκαρ,
σκοτειναῖς προσβολαῖς τοῦ ἀλάστορος
τὴν ἐμὴν καρδίαν
διὰ παντὸς ἐκτυφλουμένην,
φωτισμῷ σου λαμπρῦναι, ἀπόστολε.

Νομοθέτης ἐγένου,
ἐν πλαξὶ καρδιῶν τὸν καινότατον
καταγράφων νόμον,
ὃν τηρεῖν με δυνάμωσον ἄτρωτον,
τῆς ψυχῆς μου, Μᾶρκε,
νῦν κατευθύνων τὰς πορείας
καὶ τοῦ πλάνου ἀπείργων τὰ ἔνεδρα.

47 εἰληφὼς] ἀληθῶς Sc 50 ἐγκύψας] εἰσῆλθες Sc 56 νῦν] με Sc heirm. ε' EE 219, n. 314, Joannis 62 ἐκτυφλωμένην Sc 69 κατεύθυνον Pv

47 Matth. 16,19; 18,18

Διανοίᾳ τελείᾳ
Παύλῳ θείῳ κήρυκι συμπορευόμενος,
τὸν τοῦ κόσμου γῦρον
κατεφώτισας· μεθ' οὗ νῦν πρέσβευε
κοσμικῶν σκανδάλων
καὶ πειρασμῶν καὶ ἁμαρτίας
λυτρωθῆναί με, Μᾶρκε ἀπόστολε.

θεοτ. Ἐμαυτὸν κατακρίνω,
ἔργα κατακρίσεως ἔχων πρὸ κρίσεως
καὶ πιστῶς βοῶ σοι·
ἡ Θεὸν τὸν κριτὴν σωματώσασα,
ἀκατάκριτόν με
ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ,
παναγία παρθένε, συντήρησον.

ᾠδὴ ϛ'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Ἡ πέτρα σε ἡ τῆς πίστεως, Μᾶρκε,
f. 224 κορυφαίων ‖ ἡ κρηπὶς θεηγόρων
ὡς μαθητὴν
Αἰγυπτίοις ἐκπέμπει
καὶ παιδευτὴν καὶ διδάσκαλον ἔνθεον,
φωτίζοντα τούτους πολλαῖς
διδαχαῖς καὶ θαυμάτων λαμπρότησιν.

Σταλάζων καθάπερ ὄρος ἐφάνης
γλυκασμόν, θεομακάριστε Μᾶρκε,
ὅθεν βοῶ·
τῆς πικρίας με ῥῦσαι
τῶν ἀκαθάρτων παθῶν, παμμακάριστε,

74 οὗ] ὃν Bh 83 ἡμέρᾳ | ἐτάσει (sic) Py Pv ἐστάσει Bh στάσει Sc heirm. ϛ' EE 219, n. 314, Joannis 85 σε] σου Sc 86 κορυφαῖον Ck Pv θεηγόρον Pv 88 Αἰγυπτίους Ck Pv Bh 91 hic orationem interrumpit Bh

72 Act. 12,24-25

ἡδύνων μου τὸν λογισμὸν
θεωρίαις ἐνθέοις καὶ πράξεσιν.

Ἰάτρευσον τὰ ἀνίατα πάθη
τῆς καρδίας μου, ἀπόστολε Μᾶρκε,
καὶ δι' ὁδοῦ
στενοτάτης βαδίζειν
πρὸς ἀπαθείας με πλάτος ὁδήγησον
καὶ στένωσον τοὺς ἀφειδῶς
ἐπεμβαίνοντας τῇ ἀσθενείᾳ μου.

θεοτ. Νενέκρωται ζωηφόρῳ σου τόκῳ
ὁ νεκρώσας τοὺς γενάρχας ἀπάτῃ·
ὅθεν βοῶ·
τὰ νεκροῦντά με πάθη,
ζωοκυῆτορ παρθένε, ἀπέλασον
καὶ ζώωσόν μου τὴν ψυχήν,
νεκρωθεῖσαν πολλαῖς παραβάσεσιν.

Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*
Ἐξ ὕψους λαβὼν τὴν χάριν τὴν τοῦ πνεύματος
....

⟨Ὁ οἶκος⟩. *Τράνωσόν μου*
Τοῦ κορυφαίου τὴν τῶν ἀποστόλων πνεύματος
....

Ἄλλο.

Ἦχος δ'. *Δυνάμει θεϊκῇ σου*
Ἀπόστολε κυρίου, εὐαγγελιστὰ ὦ Μᾶρκε,
....

100 ἀπόστολε] μακάριε Sc 103 ὁδήγησον] εὐόδωσον Py Pv Sc 109 με om. Ck 112 πολλαῖς] δειναῖς Py Pv
κοντάκ. MR IV, 389, om. Py
οἶκ. MR IV, 389, om. Py
Ἄλλο PAS I, 317, om. Py Pv Sc

107 Gen. 3,1-19

<"Αλλο.> Ἐνόησαν φόβῳ

f. 224v || Ὡς ἄριστος πέλων θεράπων κυρίου
....

ᾠδὴ ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ

Μίαν θεότητα κηρύττων
χαρακτῆρσιν ἐν τρισὶ γνωριζομένην,
πολυθέου τὴν γῆν
πλάνης ἀπελυτρώσω,
Μᾶρκε Χριστοῦ ἀπόστολε,
ὁδηγὲ τῶν πλανωμένων.

f. 225 || Ὄμβροις κατήρδευσας δογμάτων
τὴν ὑφήλιον· διό σε ἱκετεύω
τῶν κακῶν μου, σοφέ,
ἀπόπλυνον τοὺς ὄμβρους
καὶ μυστικαῖς ἀρδείαις σου
καρποφόρον δεῖξον, Μᾶρκε.

Ὕλην ἐνέπρησας τῆς πλάνης
διδαγμάτων σου πυρί, Χριστοῦ αὐτόπτα·
τῶν παθῶν μου διὸ
κατάφλεξον τὴν ὕλην
καὶ ἐσβεσμένον ἄναψον
τῆς καρδίας μου τὸν λύχνον.

θεοτ. Δός μοι βοήθειαν, παρθένε,
ὁδηγοῦσάν με πρὸς τρίβους μετανοίας,
προσβολαῖς τοῦ ἐχθροῦ

οἶκ. PAS I, 317, om. Py Pv Sc
Aliud κοντάκ. praebet Py, inc.: Τοῦ Πέτρου δειχθεὶς φυτεία ... AK, 114 et οἶκ. Τὸν ἐραστὴν τῆς θείας σοφίας... AK, 114
heirm. ζ' EE 220, n. 315, Joannis 116 ἀπελυτρώσω πλάνης Sc 120 σε] σοῦ Sc 122 ἀπόπλυνον] ἀπόπαυσον Py Pv Sc 123 σου] με Py Pv Sc 124 Μᾶρκε] μάκαρ Py 125 ὕλην] ὕλην Pv 132 ὁδηγοῦσα Py Pv

καὶ πάσαις μεθοδείαις
διὰ παντὸς τρεπόμενον
πρὸς ἀτόπους ἐνθυμήσεις.

ᾠδὴ η'. Ἑπταπλασίως κάμινον

Ἐν ἀμελείᾳ πάντοτε
διεξάγων τὸν βίον μου
τὸν ἀγαθοδότην προσοργίζω κύριον·
διό σε, ἀπόστολε,
ὡς ἀγαθὸν προστάτην μου
νῦν καθικετεύω, τῇ θερμῇ σου πρεσβείᾳ
μετάνοιάν μοι δίδου
κατανύξει τελείᾳ,
ἐκπλύνουσάν με πάσης
κηλῖδος ἁμαρτίας.

Χειμαζομένην πάντοτε
ἐπηρείαις τοῦ ὄφεως,
Μᾶρκε θεηγόρε, τὴν ἐμὴν διάνοιαν,
πρὸς ὅρμον σωτήριον
τῆς ἀπαθείας ἴθυνον,
κύματα κακίας ἐκφυγοῦσαν τελείως
καὶ σῶσόν με, βοῶντα·
« ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 225v || Ὅτε τῷ θείῳ βήματι
παραστήσομαι κρίνεσθαι,
λόγον ἀποδώσω, ὧν ἐν βίῳ ἥμαρτον·

136 ἀτόποις Ck
heirm. η' EE 219, n. 314, Joannis 139 παροργίζων Ck Sc 145 ἐκπλύνουσά με Py 152 ἐκφυγοῦσα Ck 154 ἀνυμνεῖτε Sc 159 ἀποδώσων Py Sc ὧν] ὃν Ck Sc

157-162 Matth. 25,31-33

προστάτην σε εὕροιμι
τῶν ἀναγκῶν ῥυόμενον
